ΩΡΟΥ ΑΠΟΛΛΩΝΟΣ ΝΕΙΛΩΟΥ

ἱερογλυφικὰ ἐκλεκτά.

HORI APOLLINIS
Selecta Hieroglyphica.

Imagines vero cum Priuilegio.

ROMAE,
Sumtibus Iulij Franceſchini. 1599.

Ex Typographia Aloysij Zannetti.
Superiorum Permiſſu.

ΕἸΣ ὯΡΟΝ ἈΠΌΛΛΩΝΑ

τετράστιχον.

Νειλιάδου ποθέεις τελέως μυστήρια γνῶναι
Λαοῦ καὶ ἱερὰς ὦ νέε, ζωγραφίας;
Δεῦρο ξαπτοῦ, βίβλον σπουδαίως τήνδε μετέρχου
Ἐντεῦθεν χρησμοὺς μάνθανε θεσπεσίους.

IVLIVS FRANCESCHINVS Ferentillus Bibliopola.

STVDIOSO LECTORI S.

CVM datum esset mihi negotium à viris doctis Hori Apollinis, siue (vt recentiores nonnulli scribunt) Horapollinis Hieroglyphica typis, vt nunc loquimur, excudendi; quæ in publicis gymnasijs adolescentibus proponerentur; monendus mihi visus es Lector humanissime, curatum


esse diligenter, vt ea non modo emendatiora quam antea, tum Græce, tum Latine, prodirent: verum etiam, vt pauca quædam omitterentur, quæ pudicas aures offendere posse videbantur, adolescentium præsertim: quorum caussa potissimum edebantur. Id spero nemini, qui amet verecundiam, ingratum fore. Vale.

ΠΡΟΤ

ΩΡΟΥ ΑΠΟΛΛΩΝΟΣ Νειλώου,* ἱερογλυφικὰ, ἃ ἐξήνεγκε μὲν αὐτὸς Αἰγυπτίᾳ φωνῇ, μετέφρασε δὲ Φίλιππος εἰς τὴν Ἑλλάδα διάλεκτον.

Νιλιακῦ.

HORI APOLLINIS NILIACI Hieroglyphica, quæ ipse quidem Aegyptio sermone prodidit, Philippus vero lingua Græca donauit.



ά. Πῶς αἰῶνα σημαίνουσι.

ΑΙΩΝΑ σημαίνοντες, ἥλιον καὶ σελήνην γράφουσι, διὰ τὸ αἰώνια

εἶναι στοιχεῖα. Αἰῶνα δ' ἑτέρως γράψαι βουλόμενοι, ὄφιν ζωγραφοῦσιν ἔχοντα τὴν οὐρὰν ὑπὸ τὸ λοιπὸν σῶμα κρυπτομένην, ὃν καλοῦσιν Αἰγύπτιοι οὐβαῖον, ὅ ἐστιν ἑλληνιστὶ βασιλίσκον. ὅνπερ χρυσοῦν ποιοῦντες, θεοῖς περιτιθέασιν. αἰῶνα δὲ λέγουσιν Αἰγύπτιοι διὰ τοῦδε τοῦ ζώου δηλοῦσθαι, ἐπειδὴ τριῶν γενῶν ὄφεων καθεστώτων, τὰ μὲν λοιπὰ θνητὰ ὑπάρχει, τοῦτο δὲ μόνον ἀθάνατον, ὃ καὶ προσφυσῆσαν ἑτέρῳ παντὶ ζώῳ, δίχα καὶ τοῦ δακεῖν ἀναιρεῖ. ὅθεν ἐπειδὴ δοκεῖ ζωῆς καὶ θανάτου κυριεύειν, διὰ τοῦτο αὐτὸν ἐπὶ τῆς κεφαλῆς τῶν θεῶν ἐπιτιθέασι.

1. Quo pacto æuum significent.

Aeuum innuentes, Solem ac Lunam pingunt, quod æterna sint elementa. Quin & aliter æuum pictura exprimere volentes, serpentem pingunt, cuius cauda reliquo inuoluatur ac tegatur corpore. Hunc Aegyptij quidem lingua sua Vbæum, Græci verò Basiliscū appellant. Eundem

dem ex auro cõflatum dijs circumponunt. Cæterũ hoc animali æuum significare propterea Aegyptij dicunt; quod quũ tria sint serpentium genera, solum hoc ex omnibus immortale est, cætera mortalia: vtpote quum quoduis aliud animal solo afflatu etiam absque vllo morsu serpens hic interimat. Quocirca, quoniam vitæ necisq. potestatem habere videtur, merito sane deorum capitibus inseritur.



β΄ Πᾶς κόσμον.

Κόσμον βουλόμενοι γράψαι ὄφιν ζω-

γράφουσι τὴν ἑαυτοῦ ἐσθίοντα οὐρὰν, ἐστιγμένον φολίσι ποικίλαις. διὰ μὲν τῶν φολίδων αἰνιττόμενοι τοὺς ἐν τῷ κόσμῳ ἀστέρας. βαρύτατον δὲ τὸ ζῶον, καθάπερ καὶ ἡ γῆ· λειότατον δὲ, ὥσπερ ὕδωρ. καθ᾽ ἕκαστον δὲ ἐνιαυτὸν τὸ γῆρας ἀφεὶς, ἀποδύεται. καθ᾽ ὃ καὶ ὁ ἐν τῷ κόσμῳ ἐνιαύσιος χρόνος ἐναλλαγὴν ποιούμενος, νεάζει. τὸ δὲ ὡς τροφῇ χρῆσθαι τῷ ἑαυτοῦ σώματι, σημαίνει, τὰ πάντα ὅσα ἐκ τῆς θείας προνοίας ἐν τῷ κόσμῳ γεννᾶται, ταῦτα πάλιν καὶ τὴν μείωσιν εἰς αὐτὸν λαμβάνειν.

2. Quo pacto mundum.

Mundum exprimere volentes, ſerpentem pingunt, qui ſuam ipſius caudam rodat, varijs interſtinctum ſquamis: per ſquamas quidem ſtellas quibus cœlum mundusve diſtinctus eſt, obſcure indicantes. Cæterum hoc animal non ſecus ac terra grauiſſimum eſt, læuiſſimum autem ac maxime lubricū, inſtar aquę.

In-

Insuper vt serpens, quotannis pelle ac senio simul exuitur; sic & annuũ spatium, quod mundi circumacta producitur, immutatione facta renouatur, ac veluti reiuuenescit. Quod vero velut cibo, suo vtatur corpore, significat, id quæcumque Dei prouidentia in mundo gignuntur, ea rursum in eumdem resolui, & tanquam imminutionem sumere.



γʹ. Πῶς ἐνιαυτόν.

Ἐνιαυτὸν δὲ βουλόμενοι δηλῶσαι, Ἶσιν τουτέστι γυναῖκα, ζωγραφοῦσιν· τῷ δ' αὐτῷ, καὶ τὴν θεὸν σημαίνουσιν. Ἶσις δὲ παρ' αὐτοῖς

αὐτοῖς ἐστιν ἀστὴρ, αἰγυπτισὶ καλούμενος
σῶθις, ἑλληνισὶ δὲ ἀστρομύων, ὃς καὶ δο-
κεῖ βασιλεύειν τῶν λοιπῶν ἀστέρων, ὅτε
μὲν μείζων; ὅτε δὲ ἧσσων ἀνατέλλων,
ἔσθ' καὶ ὅτε μὲν λαμπρότερος, * ὅτε δὲ οὐχ
ὅτε. οὕτως. ἔτι δὲ καὶ διότι κατὰ τὴν τούτου τοῦ
ἄστρου ἀνατολὴν, σημειούμεθα περὶ πάν-
των τῶν ἐν τῷ ἐνιαυτῷ μελλόντων τε-
λεῖσθαι: διόπερ οὐκ ἀλόγως τὸν ἐνιαυτὸν
ἶσιν λέγουσιν. Καὶ ἑτέρως δὲ ἐνιαυτὸν
γράφοντες, φοίνικα ζωγραφοῦσι διὰ τὸ
δένδρον τοῦτο μόνον τῶν ἄλλων κατὰ τὴν
ἀνατολὴν τῆς σελήνης, μίαν βάϊν γεν-
βάϊσιν. νᾶν, ὡς ἐν ταῖς δώδεκα * βάϊπν ἐνιαυτὸν
ἀπαρτίζεσθαι.

3. Quomodo annum.

Porro annum demonstrare volentes, Isin, hoc est mulierem pingunt: quo etiam signo deam significant. Est autem apud eos Isis sidus quod Aegyptio quidem nomine Sothis, Græco vero Astromyon dicitur, qui & inter reliqua sidera principatum videtur obtinere: vt

qui

qui oriens, modo maior ſit, modo minor, interim ſplendidior, interim vero ſecus. Ad hæc quoniam in huiuſce ſideris exortu, ea ſignis quibuſdam obſeruamus, quæ toto anno peragenda ſunt; propterea non temere annum Iſin appellant. Aliter quoque annum indicantes, palmam pingunt: quod arbor hæc ſola ex omnibus ad ſingulos lunæ ortus, ſingulos etiam ramos procreet, ita vt duodecim ramorum productione annus expleatur.



δ'. Πῶς μῆνα.


Μῆνα δὲ γράφοντες, βάϊν ζωγραφοῦσιν,

ἢ στ

ἢ σελήνην ἐπεστραμμένην εἰς τὸ κάτω. βάϊν μὲν, τῆς προειρημένης ἐπὶ τοῦ φοίνικος αἰτίας χάριν: σελήνην δὲ ἐπεστραμμένην εἰς τὸ κάτω, ἐπειδή φασιν, ἐν τῇ ἀνατολῇ πεντεκαιδεκα μοιρῶν ὑπάρχουσαν, πρὸς τὸ ἄνω τοῖς κέρασιν ἐσχηματίσθαι· ἐν δὲ τῇ ἀποκρούσει, τὴν ἀριθμὸν τῶν τριάκοντα ἡμερῶν πληρώσασαν, εἰς τὸ κάτω τοῖς κέρασι νεύειν.

4. Quomodo mensem.

Mensem autem notantes, palmæ ramum pingunt, aut Lunam deorsum inuersam. Ramum quidem, ob causam iam in palma supra dictam; Lunam vero deorsum vergentem, quod in ortu quidem dicant eam cum quindecim est partium, sursum erectis cornibus apparere: at in senio, triginta diebus completis, cornua deorsum inflexa gerere.



ε΄. Πῶς τὸ ἐνιστάμενον ἔτος.

Ἔτος τὸ ἐνιστάμενον γράφοντες, τέταρτον ἀρούρας γράφουσιν. ἔστι δὲ μέτρον γῆς ἡ ἄρουρα, πηχῶν ἑκατόν. βουλόμενοί τε ἔτος εἰπεῖν, τέταρτον λέγουσιν, ἐπειδή φασι κατὰ τὴν ἀνατολὴν τοῦ ἄστρου τῆς σώθεως, μέχρι τῆς ἄλλης ἀνατολῆς, τέταρτον ἡμέρας * προστίθεσθαι, ὡς εἶναι τὸ ἔτος τοῦ θεοῦ, τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν, ὅθεν καὶ διὰ τετραετηρίδος περισσὴν ἡμέραν ἀριθμοῦσιν Αἰγύπτιοι. τὰ γὰρ τέσσαρα τέταρτα ἡμέραν ἀπαρτίζει.

* ἢ. προστίθεσθαι.

Quo

5. Quomodo instautem annum.

Instantem annum significantes, quartam arui partem pingunt. Est autem ἄρουρα, vnde Latinis aruum dicitur, terræ mensura centum complectens cubitos. Itaque annum volentes dicere, quartum dicunt, propterea quòd ab vno, vt tradunt, sideris cui Sothis nomen fecimus, ortu ad alterum quarta sit interiecta diei pars. Enimuero dei (Solis inquam) annus trecentis sexaginta quinque diebus absoluitur: Quamobrem & quarto quoque anno superuacuum diem computant atque intercalant Aegyptij. Quatuor siquidem diei quadrantes, diem perficiunt.



ς'. Τί δηλοῦσιν ἱέρακα γράφοντες.

Θεὸν βουλόμενοι σημῆναι, ἢ ὕψος, ἢ ταπείνωσιν, ἢ ὑπεροχὴν, ἢ νίκην, ἱέρακα ζωγραφοῦσι. Θεὸν μὲν, διὰ τὸ πολύγονον εἶναι τὸ ζῶον, καὶ πολυχρόνιον ἔτι γε μὴν, ἐπεὶ καὶ δοκεῖ εἴδωλον ἡλίου ὑπάρχειν παρὰ πάντα τὰ πετεινὰ πρὸς τὰς αὐτοῦ ἀκτῖνας ὀξυωποῦν, ἀφ' οὗ καὶ οἱ ἰατροὶ πρὸς ἴασιν ὀφθαλμῶν τῇ ἱερακίᾳ βοτάνῃ χρῶνται. ὅθεν καὶ τὸν ἥλιον ὡς κύριον ὄντα ὁράσεως, ἔσθ' ὅτε ἱερακόμορφον ζωγραφοῦσι. Ὕψος δὲ, ἐπεὶ τὰ μὲν ἕτερα ζῷα εἰς ὕψος πέτεσθαι προαιρού-

μενα,

περιχά- ρεται. μενα, πλαγίως * φέρεται, ἀδυνατοῦντα κατ' ὀρθὸν χωρεῖν. μόνος δὲ ἱέραξ εἰς ὕψος κατ' ὀρθὸν πέταται. Ταπείνωσιν δὲ, ἐπεὶ *πρὸς τοῦ- το χωρεῖ τὰ ἕτερα ζῶα οὐ κατὰ κάθετον* χωρεῖ πρὸς τοῦτο, πλαγίως δὲ καταφέρεται. ἱέραξ δὲ κατ' ὀρθὸν ἐπὶ τὸ ταπεινὸν τρέπεται. Ὑπεροχὴν δὲ, ἐπειδὴ δοκεῖ πάντων τῶν δοκεῖ. πετεινῶν διαφέρειν. Αἷμα δὲ, ἐπειδὴ * φασι τοῦτο τὸ ζῶον ὕδωρ μὴ πίνειν, ἀλλὰ αἷμα. Νίκην δὲ, ἐπειδὴ δοκεῖ τοῦτο τὸ ζῶον παντὸς νικᾶν πετεινόν. ἐπειδὰν γὰρ ὑπὸ ἰσχυροτέρου ζώου καταδυναστεύηται, τηνικαῦτα ἑαυτὸν ὑπτιάσας ἐν τῷ ἀέρι, ὡς τοὺς μὲν ὄνυχας αὐτοῦ ἐν τῷ ἄνω ἐσχηματίζῃ, τὰ δὲ πτερὰ καὶ τὰ ὀπίσθια εἰς τὸ κάτω τὴν μάχην ποιεῖται. οὕτω γὰρ ὁ ἀντιμαχόμενον αὐτῷ ζῶον, τὸ αὐτὸ ποιῆσαι ἀδυνατοῦν, εἰς ἧτταν ἔρχεται.

6. Quid accipitrem pingentes, innuant.

Deum quum volunt significare, aut sublimitatem, aut humilitatem, aut

aut præstantiam, aut sanguinem, aut victoriã, accipitrem pingunt. Deum quidem tum quod fœcundum sit ac diuturnæ vitæ hoc animal, tũ etiam quòd Solis præter cæteras volucres simulacrum esse videatur, vtpote peculiari quadam atque occulta naturæ vi, defixis in eius radios oculis intuens. Atque hinc est, quod medici ad sanãda oculorum vitia, hieraceo herba vtuntur. Inde etiam fit, vt solem interdum, tanquam visus autorem ac dominum, accipitris forma pingant. Sublimitatem vero, quia cum cætera quidem animantia, quoties in sublime tolli volunt, oblique ferãtur, nec recta sursum euehi possint, solus accipiter recta in altum volat. Humilitatem porro seu deiectioné, quod eadem ratione cæteræ animantes non perpendiculi modo, sed velut ex transuerso & flexuose deorsum ferãtur, splus accipiter directo ad inferiora

viam carpat. Præstantiam, quod cæteris auibus præstare videatur. Sanguinem, quia animal hoc aiunt non aquam, sed sanguinem bibere. Victoriam demum, quod cæteras volucres vincere videatur. Quum enim robustioris animantis potentia se videt opprimi, tum sese in aëre ita resupinãs, vt vngues quidem sursum, pennas vero ac posteriores partes deorsum versas habeat, quũ idem auis quæ cum eo congreditur efficere nequeat, ita facile eam in fugam vertit, ac sibi victoriã parat.

ζ. Πῶς δηλοῦσι ψυχήν.


Ἔτι γε μὴν καὶ ἀντὶ ψυχῆς ὁ ἱέραξ τάσσεται, ἐκ τῆς τοῦ ὀνόματος ἑρμηνείας. καλεῖται γὰρ παρ' Αἰγυπτίοις ὁ ἱέραξ, βαιήθ. τοῦτο δὲ τὸ ὄνομα διαιρεθὲν ψυχὴν σημαίνει καὶ καρδίαν. ἔστι γὰρ τὸ μὲν βαὶ ψυχή, τὸ δὲ ἠθ καρδία. ἡ δὲ καρδία κατ' Αἰγυπτίους, ψυχῆς περίβολος. ὥστε

ση-

σημαίνειν τὴν σύνθεσιν τοῦ ὀνόματος, ψυχὴν ἐγκαρδίαν· ἀφ' οὗ καὶ ὁ ἱέραξ διὰ τὸ πρὸς τὴν ψυχὴν συμπαθεῖν, ὕδωρ οὐ πίνει τὸ καθόλου, ἀλλ' αἷμα, ᾧ καὶ ἡ ψυχὴ τρέφεται.

7. Quomodo animam indicent.

Quin & pro anima ponitur accipiter, iuxta nominis interpretationem. Siquidem Aegyptijs accipiter baieth dicitur, quod nomen ſi diuiſeris, animam & cor ſonat. Bai enim anima eſt, eth cor. Cor autem ex Aegyptiorum ſententia, animæ ambitus eſt. Itaque nominis compoſitio animam cordatam notat. Quapropter accipiter ob eã quam cum anima habet naturæ conſenſionem, aquam omnino non bibit, ſed ſanguinem, quo & ipſa nutritur anima.



η'. Πῶς ἄρεα, καὶ ἀφροδίτην.

Τὸν ἄρεα καὶ τὴν ἀφροδίτην γράφοντες, δύο κοράνας ζωγραφοῦσιν, ὡς ἄνδρα καὶ γυναῖκα. ἐπεὶ τοῦτο τὸ ζῶον δύο ᾠὰ γεννᾷ, ἀφ' ὧν ἄρρεν καὶ θῆλυ γεννᾶσθαι δεῖ. ἐπειδὰν δὲ γεννήσῃ, ὅπερ σπανίως γίνεται, δύο ἀρσενικὰ, ἢ δύο θηλυκὰ, τὰ ἀρσενικὰ τὰς θηλείας γαμήσαντα οὐ μίσγεται ἑτέρᾳ κορώνῃ, οὐδὲ μὴν ἡ θήλεια κορώνη * ἑτέρᾳ μέχρι θανάτου, ἀλλὰ μόνα τὰ ἀποζυγέντα διατελεῖ. διὸ καὶ μιᾷ κορώνῃ συναντήσαντες, οἰωνίζονται οἱ ἄνθρωποι, ὡς χηρεύοντι συντετυχηκότες ζώῳ. τῆς δὲ τοιαύτης αὐτῶν ὁμονοίας

ἑτέρᾳ κορώνῃ.


χάριν

χάειν, μέχρι νῦν οἱ ἕλληνες ἐν τοῖς γάμοις ἐκκορεὶ· κορεὶ * κορώνην λέγουσιν ἀγνοοῦντες:

8. Quo modo Martem ac Venerem.

Martem & Venerem deſcribentes, duas pingunt cornices, vt marem ac fœminam: quoniam animal hoc gemina ſolet oua parere, ex quibus mas & fœmina gignantur. Vbi vero, quod raro tamen accidit, vel duo maſculea, vel duo fœminea oua pepererit, mares fœminis connubio iuncti numquam ad alteram diuertunt cornicem, ac ne ipſa quidem fœmina, quoad viuit, ad alterum marem: ſed diſiuncti, ſoli deinceps ſemper degunt. Vnde & cum vni cornici occurrerint homines, augurantur præſagium ſibi hoc eſſe viduæ vitæ, quòd ſcilicet animali viduam agenti vitã obuij facti fuerint. Proinde in hunc vſque diem

Græci ob tantam harum auiũ concordiam, in nuptijs ignorantes verbum illud vſurpare ſolent ἐκκορὲ, nimirum κορὲ cornicem appellãtes.



θ΄. Πῶς γάμον.

Γάμον δὲ δηλοῦντες, δύο κορώνας πάλιν ζωγραφοῦσι, τοῦ λεχθέντος χάριν.

9. Quomodo nuptias.

Atque eandem ob cauſam nuptias innuentes, duas rurſum cornices appingunt.

Πῶς



ι. Πῶς μονογενές.

Μονογενὲς δὲ δηλοῦντες, ἢ γένεσιν, ἢ πατέρα, ἢ κόσμον, ἢ ἄνδρα, κάνθαρον ζωγραφοῦσι. μονογενὲς μὲν ὅτι αὐτογενές ἐστι τὸ ζῶον, ὑπὸ θηλείας μὴ κυοφορούμενον * μόνη γὰρ γένεσις αὐτοῦ * τοιαύτη μόνη
ἐστίν. ἐπειδὰν ὁ ἄρσην βούληται παιδο- τοιαύ-
ποιήσασθαι, βοὸς ἀφόδευμα λαβών, τηδ'.
πλάσσει σφαιροειδὲς παραπλήσιον τῷ κόσμῳ σχῆμα, ὃ ἐκ τῶν ὀπισθίων μερῶν κυλίσας ἀπὸ ἀνατολῆς εἰς δύσιν, αὐτὸς πρὸς ἀνατολὴν βλέπει, ἵνα ἀποδῷ τὸ τοῦ κόσμου σχῆμα. αὐτὸς γὰρ ἀπὸ τοῦ ἀπηλιώτου εἰς λίβα φέρεται, ὁ δὲ τῶν ἀστέρων δρόμος

ἀπὸ λιβὸς εἰς ἀπηλιώτην. ταύτην οὖν τὴν σφαῖραν κατορύξας εἰς γῆν, κατατίθεται ἐπὶ ἡμέρας εἰκοσιοκτώ, ἐν ὅσαις καὶ ἡ σελήνη ἡμέραις τὰ δώδεκα ζώδια κυκλεύει, ὑφ' ἣν ἀπομένον ζωογονεῖται τὸ τῶν κανθάρων γένος. τῇ ἐνάτῃ δὲ καὶ εἰκοστῇ ἡμέρᾳ ἀνοίξας τὴν σφαῖραν, εἰς ὕδωρ βάλλει. ταύτην γὰρ ἡμέραν νομίζει σύνοδον εἶναι σελήνης καὶ ἡλίου, ἔτι τε καὶ γένεσιν κόσμου. ἧς ἀνοιγομένης ἐν τῷ ὕδατι, ζῶα ἐξέρχεται, τουτέστιν οἱ κάνθαροι. Γένεσιν δὲ, διὰ τὴν προειρημένην αἰτίαν. Πατέρα δὲ, ὅτι ἐκ μόνου πατρὸς τὴν γένεσιν ἔχει ὁ κάνθαρος. Κόσμον δὲ, ἐπειδὴ κοσμοειδῆ τὴν γένεσιν ποιεῖται. Ἄνδρα δὲ, ἐπειδὴ θηλυκὸν γένος αὐτοῖς οὐ γίνεται. Εἰσὶ δὲ καὶ κανθάρων ἰδέαι τρεῖς. πρώτη μὲν αἰλουρόμορφος καὶ ἀκτινωτὴ ἥνπερ καὶ ἡλίῳ ἀνέθεσαν διὰ τὸ σύμβολον: φασὶ γὰρ τὸν ἄρρενα αἴλουρον, συμμεταβάλλειν τὰς κόρας τοῖς τοῦ ἡλίου δρόμοις. ὑπεκτείνονται μὲν γὰρ κατὰ πρωῒ πρὸς τὴν τοῦ θεοῦ ἀνατολήν. στρογγυλοειδεῖς δὲ γίνονται κατὰ τὸ μέσον τῆς ἡμέρας, ἀμαυρότεραι δὲ φαίνονται,

δαύειν

δυώζειν μέλλοντος τοῦ ἡλίου. ὅθεν καὶ τὸ ἐν ἡλίου πόλει ξόανον τοῦ θεοῦ αἰλουρόμορφον ὑπάρχει. ἔχει δὲ πᾶς κάνθαρος καὶ δακτύλους τριάκοντα, διὰ * τὴν τριακονθήμερον τοῦ μηνὸς, ἐν αἷς ὁ ἥλιος ἀνατέλλων, τὸν ἑαυτοῦ ποιεῖται δρόμον. δεύτερον δὲ γενεὰ, ἡ δίκερως καὶ ταυροειδὴς, ἥτις καὶ τῇ σελήνῃ καθιερώθη, ἀφ' οὗ καὶ τὸν * ἐν οὐρανῷ ταῦρον, ὕψωμα τῆς θεοῦ ταύτης λέγουσιν εἶναι παῖδες Αἰγυπτίων. τρίτη δὲ ἡ μονόκερως καὶ ἰδιόμορφος, ἣν Ἑρμῇ διαφέρειν ἐνόμισαν, καθὰ καὶ ἶβις τὸ ὄρνεον.

τὴν τριακονταήμερον.

οὐράνιον.

10. Quo modo vnigenam.

Vnigenam autẽ ſignificantes, aut ortum, aut patrem, aut mũdum, aut virum, Scarabæum pingũt. Ac vnigenam quidem, quod per ſe gignatur hoc animal, vtpote in vtero fœminæ non prius efformatum ac geſtatum: eius enim ſolius huiuſcemodi ortus eſt. Cum mas ſobolem procreare vult, bouis fimũ nactus,

globulum eiuſdem cuius mundus figuræ fingit : quem vbi ab ortu in occaſum auerſis pedibus volutarit; ipſe rurſum,vt orbi perſimilem figuram edat atque exprimat,in ortum conuertitur. Ipſe quidem orbis a Subſolano circumagitur in Africum. At ſiderum contrarius eſt curſus, ab Africo ad Subſolanum. Hanc itaque pilam in terra defoſſam recondit in dies octo & viginti . nam & totidem diebus Luna duodecim zodiaci ſigna perluſtrat , ſub qua toto illo tēpore permanens animatur ſcarabæorum genus . Nono autem & viceſimo die apertam pilam in aquam coniicit (eum enim diem eſſe putat quo & Luna cum Sole congrediatur, & mundi inſuper fiat generatio) quæ dum in aqua aperitur , prodeunt animalia , hoc eſt ſcarabæi. Ortum autem,propter iam dictam cauſſam. Patrem,quod ex ſolo patre ortū habeat ſcarabæus , Mun-

dum ,

dum, quòd ad mundi figuram eius procreatio ac fœtus accedat. Virum denique, quod non ſit in eorum genere fœmina. Sunt porro Scarabæorum formæ tres: Prima felium ſpecie, ac veluti radijs inſignita, quam & Soli ob ſignificationẽ quãdam dicarunt. Aiunt enim felem marem, iuxta varium ſolis habitum & curſum, pupillas commutare, ad ortum quidem Solis mane nonnihil extendi, ſub meridiem velut rotundas fieri, Sole ad occaſum vergente obtuſiores obſcurioresq. apparere. Quamobrem etiam quæ apud Heliopolin eſt Dei, Solis inquam, ſtatua, felis ſpeciem præſefert. Habet autem & ſcarabæus omnis digitos triginta, propter triginta mẽſis dies, quibus Sol oriens ſuum per ſingula zodiaci ſigna curſum peragit. Alterum Scarabæorum genus bicorne eſt, & taurina ſpecie, quod quum & Lunæ conſecratum ſit, propterea

eum

eum qui inter ſidera relatus eſt taurum huiuſce deæ elationẽ eſſe perhibent Aegyptiorum filij. Tertium vnicorne eſt, & ſuæ peculiaris formæ, quod & Mercurio ſacrum eſſe, vt etiam eſt ibis auis, exiſtimarunt.



ιά. Τί γῦπα γράφοντες δηλοῦσι.

Μητέρα δὲ γράφοντες, ἢ βλέψιν, ἢ ὅριον, ἢ πρόγνωσιν, ἢ ἐνιαυτὸν, ἢ οὐρανίαν, ἢ ἐλεήμονα, ἢ ἀθηνᾶν, ἢ ἥραν, ἢ δραχμὰς δύο, γῦπα ζωγραφοῦσι. μητέρα μὲν ἐπειδὴ ἄῤῥεν ἐν τούτῳ τῷ γένει τῶν ζώων οὐχ ὑπάρχει. ἔστι δ' καὶ ἄλλα * γένη γυπῶν

ὄρνεων γένη.

πῶν, ἃ ὑπὸ ἀνέμου * συλλαμβάνει, ὧν τὰ ᾠὰ πρὸς βρῶσιν αὐτοῦ μόνον, οὐκέτι δὲ πρὸς ζωογονίαν ἐστὶ χρήσιμα. γυπῶν δὲ ὑπηνέμιον ποιουμένων τὴν ὀχείαν, ἡ τῶν ᾠῶν γένεσις ζωογονεῖται. Βλέψιν δὲ, ἐπειδὴ τῶν ἄλλων ζώων ἁπάντων ὀξυωπέστερον ὁρᾷ ἡ γύψ, ἐν μὲν * ἀνατολῇ τοῦ ἡλίου ὄντος, πρὸς δύσιν βλέπουσα, ἐν δύσει δὲ τοῦ θεοῦ ὑπάρχοντος, πρὸς ἀνατολήν. ἐξ ἱκανοῦ διαστήματος πορίζομένη τὰ πρὸς χρῆσιν αὐτῇ βρώσιμα. Ὅριον δὲ, διότι πολέμου μέλλοντος τελεῖσθαι, τὸν τόπον ὁρίζει, ἐν ᾧ μέλλει ὁ πόλεμος γίνεσθαι, πρὸ ἡμερῶν ἑπτὰ ἐπ' αὐτὸν παραγινομένη. Πρόγνωσιν δὲ, διά τε τὰ προειρημένα, καὶ ὅτι πρὸς τοῦτο πλείονας * σφαζομένους καὶ * ἡττωμένους βλέπει, ταμιευομένη τὴν ἑαυτοῦ ἐκ τῶν πτωμάτων βορὰν, παρ' ὃ καὶ οἱ ἀρχαῖοι βασιλεῖς, κατασκόπους ἔπεμπον σκεπτόμενοι κατὰ ποῖον τοῦ πολέμου αἱ γῦπες βλέπουσι μέρος, ἐντεῦθεν σημειούμενοι τοὺς ἡττωμένους. Ἐνιαυτὸν δὲ, διὰ τὸ ἐν τούτῳ τῷ ζῴῳ τριακοσίας ἑξήκοντα πέντε ἡμέρας τοῦ

ἔτους

συλλαμβάνονται αὐτῶν.

τῇ

Pro his duobus habet tantum vetus. σφαζομένου

ὅτους διαιρεῖται, ἐν αἷς ὁ ἐνιαύσιος ἐκτελεῖται χρόνος. ἑκατὸν γὰρ εἴκοσιν ἡμέρας ἔγκυος μένει, καὶ τὰς ἴσας τοὺς νεοσσοὺς ἐκτρέφει· ταῖς δὲ λοιπαῖς ἑκατὸν εἴκοσι τὴν ἑαυτῆς ἐπιμέλειαν ποιεῖται, μήτε κυοφοροῦσα, μήτε τρέφουσα, παρασκευάζουσα δὲ ἑαυτὴν εἰς ἑτέραν σύλληψιν· τὰς δὲ λοιπὰς πέντε τοῦ ἔτους ἡμέρας, ὡς ἤδη προεῖπον, εἰς τὴν τοῦ ἀνέμου ὀχείαν καταναλίσκει. Ἐλεήμονα δὲ, ὅπερ δοκεῖ πᾶσιν ἐναντιώτατον ὑπάρχειν, ἐπεὶ τοῦτο τὸ ζῶον πάντα ἀναιρεῖ. ἵνα γὰρ καθόλου δὲ τοῦτο γράψαι, ἐπειδὴ ἐν ταῖς ἑκατὸν εἴκοσιν ἡμέραις ἐν αἷς τὰ ἑαυτοῦ ἐκτρέφει τέκνα, ὅτι πλεῖον οὐ πέτεται. περὶ δὲ τοὺς νεοσσοὺς καὶ τὴν τούτων τροφὴν ἀσχολεῖται, ἐν αἷς ἀπορήσασα τροφῆς ἣν παράσχηται τοῖς νηπίοις, τὸν ἑαυτῆς μηρὸν ἀνατέμνουσα, παρέχει τοῖς τέκνοις τοῦ αἵματος μεταλαμβάνειν, ὡς μὴ ἀπορήσαντα τροφῆς ἀναιρεθῆναι. Ἀθηνᾶν δὲ καὶ ἥραν, ἐπειδὴ δοκεῖ παρ' Αἰγυπτίοις, ἀθηνᾶν μὲν τὸ ἄνω τοῦ οὐρανοῦ ἡμισφαίριον ἀπειληφέναι. τὸ δὲ κάτω ἥρα, καὶ τὸ τῶν γυ-

πῶν

τῶν δὲ, ὡς προεῖπον, γένος θηλειῶν ἐστὶ γένος μόνον, διὰ τὴν αἰτίαν καὶ παντὶ θηλυκῷ ζωδίῳ οἱ Αἰγύπτιοι, γῦπα ὡς βασίλειον ἐπιτιθέασιν, ἀφ' οὗ καὶ πᾶσαν θεὰν, ἵνα μὴ περὶ ἑκάστης γράφων, μηκύνω τὸν λόγον * σημαίνοντες, τὴν γῦπα γράφουσιν Αἰγύπτιοι. μητέρα οὖν θέλοντες σημῆναι, γῦπα ζωγραφοῦσι. μήτηρ γὰρ ἐστι θηλυκοῦ ζώου. Οὐρανίαν δὲ (οὐ γὰρ ἀρέσκει αὐτοῖς τὸν οὐρανὸν λέγειν) ἐπεὶ τούτων ἡ γένεσις ἐκεῖθέν ἐστι. Δραχμὰς δὲ δύο διότι παρ' Αἰγυπτίοις μονάς ἐστιν αἱ δύο γραμμαί. μονὰς δὲ, παντὸς ἀριθμοῦ γένεσις· εἰκότως οὖν δύο δραχμὰς βουλόμενοι δηλῶσαι γῦπα γράφουσιν, ἐπεὶ μήτηρ δοκεῖ καὶ γένεσις εἶναι, καθάπερ καὶ ἡ μονάς.

11. Quid, vulturem describentes, indicent.

Cæterum matrem significantes, aut aspectum, aut limitem, aut futurorum cognitionem, aut annum, aut cœlum, aut misericordem, aut Mineruam,

neruam, aut Iunonem, aut drachmas duas, vulturem pingunt. Matrem quidem, quod in hoc animantium genere mas non ſit. Sunt porro & alia vulturum genera, quæ ex vento concipiunt quidem, ſed quorum oua ad eſum dumtaxat, non item ad fœtum ſuſcipiendũ ac formãdum ſunt accommodata. At eorum vulturum, quorũ non eſt ſubuentaneus dũtaxat & inefficax congreſſus, oua ad gignendũ tollendãq. ſobolem ſunt in primis idonea. Aſpectum autem, quod ex omnibus animãtibus perſpicaciſſimi viſus ſit vultur, vt qui oriente quidem Sole in occaſum, occidente vero in ortũ proſpiciat, atque è ſatis longo interuallo quæ ſibi vſui ſint, comparet edulia. Limitem, quod cum belli conficiendi tempus inſtat, locum vbi pugna committenda ſit, ſeptem ante diebus ad eum accedens præfiniat & circumſcribat. Præſagium

vero, tum ob iam dictam caussam, tum etiā quod ad eā exercitus partem sese conuertere soleat, vbi maior sit futura clades, sibi ex cadaueribus alimentum seponens, ac in futurum prouide reseruans. Ergo & prisci reges exploratores mittebāt, per quos in vtram aciei partem respexissent vultures, cognoscerent, indeq. vincendos, atque internecina strage delendos colligerent. Annum porro, quoniā animal hoc trecentos illos ac sexaginta quinque dies quibus completur annus, ita distribuit, vt centum quidem ac viginti diebus prægnans maneat, totidem pullos enutriat, reliquis vero centum ac viginti sui curam gerat, neque vterum ferens, neque alendis addicta liberis, sed seipsam duntaxat ad aliam parans conceptionem. Quinque autem illos, qui supersunt anni dies, in venti, vt iam dictū est, compressionem insumit. Misericor-

dem autem, quod quibuſdam alieniſſimum fortaſſe videbitur, præſertim quum hoc animal cũcta interimat. Sed vt hoc pictura vulturis innuerent, eo impulſi ſunt, quod centum illis ac viginti diebus quibus ſuos educat, pene nunquam euolet, ſed omnem curam ac ſollicitudinem in illis alendis adhibeat. Quod ſi eo tempore cibus non ſuppetat, quo eos ſuſtentet, proprio execto fœmore ſugendũ eis exhibet & impertitur ſanguinem, vt ne cibi penuria atque inedia conficiantur. Mineruam ac Iunonem, quoniam videtur apud Aegyptios Minerua quidem ſuperius cœli hemiſphærium occupaſſe, Iuno vero inferius. Quin & vulturum genus, vt iam expoſui, fœminas tantum complectitur. Quam ob cauſſam & cuiuis fœminei ſexus animanti Aegyptij vulturem, vt in eo ſexu principem ac primarium apponunt: ex quo &

deam

deam omnem, ne sigillatim vnamquamque percurrens, prolixior sim, * significantes, vulturem pingunt Aegyptij. Insuper & matrem innuere volentes, vulturem pingunt: est enim mater fœmineæ naturæ. οὐρανίαν autem hoc est cœlum (neque enim placet ipsis, masculino genere οὐρανὸν dicere) quoniam horum omnium generatio inde est. Duas denique drachmas, quod apud Aegyptios duæ lineæ vnitas est. Vnitas vero cuiuslibet numeri ortus est atque principium. Iure igitur duas drachmas indicare volentes, vulturem pingunt, quod generationis ipse sibi autor materq. ac principium, quemadmodum & vnitas esse videatur.



ιϐ. Πῶς ἥφαιστον γράφουσι.


Ἥφαιστον δὲ γράφοντες, κάνθαρον καὶ γῦπα ζωγραφοῦσι. ἀθηνᾶν δὲ, γῦπα καὶ κάνθαρον. δοκεῖ γὰρ αὐτοῖς ὁ κόσμος συνεστάναι, ἔκ τε ἀρσενικοῦ καὶ θηλυκοῦ. ἐπὶ δὲ τῆς ἀθηνᾶς τὴν γῦπα γράφουσι· οὗτοι γὰρ μόνοι θεῶν παρ' αὐτοῖς ἀρσενοθήλεις ὑπάρχουσι.

12. Quomodo Vulcanum notent.

At Vulcanum indicantes ſcarabæum & vulturem pingunt. Mineruam vero vulturem & ſcarabæum.

Ipſis

Ipsis enim videtur mundus ex mare ac fœmina constare. Vulturem autem Mineruæ appingunt, quod hi soli ex dijs apud ipsos mares sint simul ac fœminæ.



ιγ. Τί ἀστέρα γράφοντες δηλοῦσι.

Θεὸν δὲ ἐγκόσμιον σημαίνοντες, ἢ εἱμαρμένην, ἢ τὸν πέντε ἀριθμὸν, ἀστέρα ζωγραφοῦσι. θεὸν μὲν, ἐπειδὴ πρόνοια θεοῦ, τὴν νίκην προστάσσει, ἣ τῶν ἀστέρων καὶ τοῦ παντὸς κόσμου κίνησις ἐκτελεῖται. δοκεῖ γὰρ αὐτοῖς δίχα θεοῦ, μηδὲν ὅλως συνεστάναι. εἱμαρμένην δὲ, ἐπεὶ καὶ αὕτη ἐξ ἀστρικῆς οἰκονομίας συνίστα-

ται. τὸν δὲ πέντε ἀριθμὸν, ἐπειδὴ πλήθους ὄντος ἐν οὐρανῷ, πέντε μόνοι ἐξ αὐτῶν κινούμενοι τὴν τοῦ κόσμου οἰκονομίαν ἐκτελοῦσι.

13. Quid ſidus pingentes, innuant.

Deum pulchre ornatum ſignificantes, aut fatum, aut quinarium numerum, ſidus pingunt. Deũ quidem, quod Dei prouidentia victoriam decernit atque imperat, qua & ſiderum orbisq. vniuerſi motus peragitur. Exiſtimant enim ſine Deo nihil prorſus conſiſtere. Fatum autem, quod id quoque e ſiderum curſu ac diſpenſatione conſtituatur. Quinarium vero numerum, quoniam cũ quamplurima atque adeo innumera ſint in cœlo ſidera, ſola ex his quinque, motu ſuo orbis pulcherrimam efficiũt diſtributionem ac moderamen.

Ti



ιδ'. Τί κυνοκέφαλον γράφοντες δηλοῦσι.

Σελήνην δὲ γράφοντες, ἢ οἰκουμένην, ἢ γράμματα, ἢ ἱερέα, ἢ ὀργὴν, ἢ κόλυμβον, κυνοκέφαλον ζωγραφοῦσι. Σελήνην μὲν, ἐπειδὴ τὸ ζῶον τοῦτο συμπάθειάν τινα πρὸς τὴν τοῦ θεοῦ σύνοδον ἐκτήσατο. ὅταν γὰρ ἐν τῷ μέρει τῆς ὥρας ἡ σελήνη συνοδεύουσα ἡλίῳ ἀφώτιστος γένηται, τότε ὁ μὲν ἄρσην κυνοκέφαλος οὐ βλέπει, οὐδὲ ἐσθίει· ἄχθεται δὲ εἰς τὴν γῆν νενευκὼς, καθάπερ πενθῶν τὴν τῆς σελήνης ἁρπαγήν. ἡ δὲ θήλεια μετὰ τοῦ μὴ ὁρᾶν, καὶ ταυτὰ τῷ ἄρρενι πάσχει,

διὸ καὶ μέχρι τοῦ νῦν ἐν τοῖς ἱεροῖς τρέφονται κυνοκέφαλοι, ὅπως ἐξ αὐτῶν γινώσκηται τὸ ἡλίου καὶ σελήνης μέρος τῆς συνόδου. οἰκουμένην δὲ ἐπειδὴ ἑβδομήκοντα δύο χώρας τὰς ἀρχαίας φασὶ τῆς οἰκουμένης εἶναι· τούτους γὰρ τρεφομένους ἐν τοῖς ἱεροῖς καὶ ἐπιμελείας τυγχάνοντας, οὐ, καθάπερ τὰ λοιπὰ ζῶα ἐν ἡμέρᾳ μιᾷ τελευτᾷ· οὕτω καὶ τούτους, ἀλλὰ μέρος αὐτῶν καθ' ἑκάστην ἡμέραν νεκρούμενον, ὑπὸ τῶν ἱερέων θάπτεσθαι, τοῦ λοιποῦ σώματος ἐν τῷ κατὰ φύσιν ὄντος. ἕως δ' ἂν αἱ ἑβδομήκοντα καὶ δύο πληρωθῶσιν ἡμέραι, τότε ὅλως ἀποθνήσκει. Γράμματα δὲ, ἐπειδὴ ἔστι συγγένεια κυνοκεφάλων* Αἰγυπτίοις ἐπισταμένων γράμματα. παρ' ὃ εἰς ἱερὸν ἐπειδὰν πρῶτα κομισθῇ κυνοκέφαλος, δέλτον αὐτῷ παρατίθησιν ὁ ἱερεὺς, καὶ σχοινίον, καὶ μέλαν, πειράζων εἰ ἐκ τῆς ἐπισταμένης ἐστὶ συγγενείας γράμματα, καὶ εἰ γράφει. ἔτι δὲ καὶ τὸ ζῶον, ὅτι ἑρμῇ ἀνεμήθη τῷ πάντων μετέχοντι γραμμάτων. Ἱερέα δὲ, ὅτι φύσει ὁ κυνοκέφαλος ἰχθὺν οὐκ ἐσθίει, ἀλλ' οὐδὲ* ἰχθυώμενον

Αἰγύπτια.

ἰχθυώμενον

* ἄρ-

* ἄρτον, καθάπερ καὶ οἱ ἱερεῖς ἐκτός. γεννᾶται * δὲ περιτετμημένος, ἣν καὶ οἱ ἱερεῖς ἐπιτηδεύουσι περιτομήν. ὀργὴν δὲ, ἐπείπερ τὸ ζῶον τοῦτο παρὰ τὰ ἄλλα θυμικώτατόν τε καὶ ὀργίλον ὑπάρχει. κόλυμβον δὲ, διότι τὰ μὲν ἄλλα ζῶα κολύμβῳ χρώμενα, ῥυπαρὰ * φαίνονται· μόνον δὲ τοῦτο εἰς ὃν τόπον προῄρηται προελθεῖν κολυμβᾷ, κατὰ μηδὲν τοῦ ῥύπου παραφερόμενον.

ἄγρον
τε
φαίνεται

14. Quid Cynocephalum pingentes demonſtrent.

Lunam demonſtrantes, aut terrarum orbem, aut litteras, aut ſacrificum, aut iram, aut nationem, Cynocephalum pingunt. Lunam quidem, propterea quod animal hoc conſenſum quendam cum Dei congreſſu, ex quo & affici ſoleat, habet. Vbi enim aliquanto tempore Luna cum Sole congrediens, expers luminis opacaq. permanet, tum mas qui-

quidem cynocephalus nec quoquã intuetur, nec vescitur: sed demisso in terram vultu indignabundus, velut Lunæ raptũ deplorans, mœret. Fœmina vero, præterquam quod nusquã oculos cõtorquet, ipsa quoque eodẽ quo mas afficitur modo. Ideoque ad hæc vsque tempora in templis, cynocephali nutriuntur, vt ex ipsis coniunctionis Solis & Lunæ tempus cognosci possit. Terrarum autem orbem, quoniam septuaginta duas ferunt iam olim orbis habitati fuisse regiones: hos porro, si diligenter in tẽpli nutriantur & curentur, non sicut cætera animalia vno die emoriuntur, sic & ipsos emori: sed ipsorum partem quandam singulis diebus emoriẽtem ac tabescentem a sacerdotibus humari, reliquo interim corpore in sua natura persistente, idq. per septuaginta duos dies: quibus expletis, tum prorsus interit. Litteras, quia

est [apud Aegyptios] natio quædam & genus cynocephalorum, qui litteras norũt. Quapropter vbi primum in sacram ædem ductus fuerit cynocephalus, tabellam ei sacerdos apponit, vna cum scirpeo stilo atque atramento, nimirum vt periculum faciat, sit ne ex eo cynocephalorum genere, qui litterarũ gnari sunt; & an litteras pingat. pingit itaque in ea tabella litteras. Præterea hoc animal Mercurio dicatum est, qui litterarum omnium particeps est. Sacrificum vero, quod natura cynocephalus ab esu piscis atque adeo panis qui ex pisce sit confectus abhorret, sicut & externi sacerdotes. Adde quod circumcisus gignitur, quam quidem circumcisionem summo curant ac peragunt studio sacerdotes. Iram, quia hoc præter cætera animantia maxime iracundum est, & ad indignationem procliue. Natatio-

nem

nem porro, quoniam cætera quidem animantia frequenti natatione ſordes ac ſqualorem contrahunt: ſolum hoc ad eum quem inſtituit locum nando peruenit, nec tamen vllis a natiuo colore transfertur, aut ſordibus inquinatur.



ιέ. Πῶς γράφουσι σελήνης ἀνατολήν.


σχήματι Σελήνης δὲ ἀνατολὴν γράφειν βουλόμενοι, πάλιν κυνοκέφαλον ζωγραφοῦσι, *τρόπῳ τοιῷδε ἑστῶτα καὶ τὰς χεῖρας οὐρανὸν ἐπαίροντα, βασίλειόν τε ἐπὶ τῆς

κεφα-

κεφαλῆς ἔχοντα. τοῦτο γράφουσι τὸ σχῆμα ὅτι τῆς ἀνατολῆς, ὁ κυνοκέφαλος ποιεῖται ὡς εἰπεῖν προσδεχόμενος τῇ θεῷ, ἐπειδὴ ἀμφότεροι φωτὸς μετειλήφασι.

15. Quomodo Lunæ exortum indicent.

Lunam autem orientem indicare volentes, rurſum cynocephalũ hoc habitu pingunt, ſtantem, manusq. in cœlum tollentem, ac regium inſigne capite geſtantem. Hac autem figura, ad Lunæ ortum demonſtrandum, depingunt cynocephalum, quod hoc habitu videatur cynocephalus deæ gratulari; quod ambo, Sol inquam ac Luna, luminis participes ſint.



ιϛʹ. Πῶς ἰσημερίας δύο.

* δὲ

Ἰσημερίας * δύο πάλιν σημαίνοντες, κυνοκέφαλον καθήμενον ζωγραφοῦσι ζῶον· ἐν ταῖς δυσὶ γὰρ ἰσημερίαις τοῦ ἐνιαυτοῦ δωδεκάκις τῆς ἡμέρας καθ᾽ ἑκάστην * ὥραν οὐρεῖ. τὸ δὲ αὐτὸ καὶ ταῖς δυσὶ νυξὶ ποιεῖ. διόπερ οὐκ ἀλόγως ἐν τοῖς ὑδρολογίοις αὐτῶν Αἰγύπτιοι κυνοκέφαλον καθήμενον γλύφουσιν· ἐκ δὲ τοῦ μορίου αὐτοῦ ὕδωρ ἐπιῤῥέον ποιοῦσιν. ἐπεὶ, ὥσπερ προεῖπον, τὰς τῆς ἰσημερίας δώδεκα σημαίνει ὥρας. ἵνα δὲ μὴ εὐρύτερον τὸ * ὕδωρ * κατασκευάσματα * ὑπάρχῃ, δι᾽ οὗ τὸ ὕδωρ εἰς τὸ ὡρολόγιον ἀποκρίνεται, μηδὲ πά-

Deest in veteri ὥραν

ὕδωρ μο μᾶ ὑπάρχῃ

λιν

λιν στενότερον. ἀμφοτέρων γὰρ χρεία. τὸ μὲν γὰρ εὐρύτερον, ταχέως ἐκρέον τὸ ὕδωρ, οὐχ ὑγιῶς τὴν ἀναμέτρησιν τῆς ὥρας ἀποτελεῖ. τὸ δὲ στενότερον, κατ᾽ ὀλίγον καὶ βραδέως ἀπολύον τὸν κρουνὸν, ἕως τῆς οὐρᾶς τρίχα διείροντες, πρὸς τὸ ταύτης πάχος, σίδηρον κατασκευάζουσι, πρὸς τὴν προκειμένην χρείαν. τοῦτο δὲ αὐτοῖς ἀρέσκει ποιεῖν, οὐκ ἄνευ λόγου τινὸς [ὡς] καὶ οὐδὲ ἐπὶ τῶν ἄλλων, καὶ ὅτι ἐν ταῖς ἰσημερίαις, μόνος τῶν ἄλλων ζώων δωδεκάκις τῆς ἡμέρας κράζει καθ᾽ ἑκάστην ὥραν.

16. Quomodo æquinoctia duo.

Rursum æquinoctia significantes, idem animal, cynocephalum sedentem pingunt. Duobus enim anni æquinoctijs, duodecies in die per singulas nimirum horas vrinam reddit, idemq. & noctu facit. Quare non immerito suis hydrologijs Aegyptij cynocephalum sedentem insculpũt, è cuius membro aqua defluat: idq. pro-

propterea quod duodecim, vt iam dixi, in quas æquinoctij tēpore dies ac noctes ex æquo diuiduntur, horas significat. Cæterum ne foramen illud acutè artificioseq. constructū, per quod in horologium aqua profluit & excernitur, aut latius sit, aut rursum arctius (vtrumq; enim magni refert. siquidem latius, cum magna celeritate aquam profundat, non recte horæ modum ac dimensionem perficit: angustius autē paulatim ac latius quam par sit, aquæ ductum laxat) remedium hoc excogitarunt, vt quicquid pilorum est, ad caudam vsque abradentes, pro huius crassitudine ferream quādam fistulam in vsum iam dictum fabricentur. Hoc autem ipsis visum est non absque ratione quadam, sicut nec in cæteris facere: & quod etiam solus ex omnibus animantibus, æquinoctio duodecies in die per singulas horas adlatrat.

Πῶς



ιζ. Πῶς θυμὸν δηλοῦσι.

*Θυμὸν δὲ βουλόμενοι δηλῶσαι, λέοντα ζωγραφοῦσι. κεφαλὴν γὰρ ἔχει μεγάλην τὸ ζῶον, καὶ τὰς μὲν κόρας πυρώδεις, τὸ δὲ πρόσωπον, στρογγύλον, καὶ περὶ αὐτὸ ἀκτινοειδεῖς τρίχας, κατὰ μίμησιν ἡλίου. ὅθεν καὶ ὑπὸ τὸν θρόνον τοῦ ὥρου, λέοντας ὑποτιθέασι, δεικνῦντες τὸ πρὸς τὸν θεὸν τοῦ ζώου σύμβολον. ἥλιος δὲ ὁ ὧρος ἀπὸ * τῶν ὡρῶν κρατεῖν.* τοῦ

17. Quomodo animum siue iram innuant.

Animum autem siue iram volentes

tes ſignare, Leonem pingunt. Caput enim magnum habet hoc animal,& pupillas quidem ignitas,faciem vero rotundam , & circumquaque radiorum more ſparſos pilos inſtar Solis . Quare & ſub ſolio hori , hoc eſt Solis , leones ſupponunt , huius animalis cum Deo ſimilitudinem maximam demonſtrantes . Dicitur autem apud eos Sol Horus,eo quod horis præſit .



ιη. Πῶς ἀλκὴν γράφουσιν.

Ἀλκὴν δὲ γράφοντες, λέοντος τὰ ἔμπροσθεν ζωγραφοῦσι, διὰ τὸ ἀσθενέ-

στερα

στερα αὐτῷ ὑπάρχειν πάντα τὰ μέλη τοῦ σώματος.

18. Quomodo robur notent.

Robur notantes, Leonis anteriora membra pingunt, quòd hæc ei ex toto corpore robustissima sint.



ιθ΄. Πῶς ἐγρηγορότα γράφουσιν.

* Ἐγρηγορότα δὲ γράφοντες, ἢ καὶ φύλακα, λέοντος γράφουσι κεφαλὴν, ἐπειδὴ ὁ λέων ἐν τῷ ἐγρηγορέναι, μέμυκε τοὺς ὀφθαλμοὺς, κοιμώμενος δὲ ἀνεῳγότας τούτους ἔχει, ὅπερ ἐστὶ τοῦ φυλάσσειν σημεῖον. γρηγορόντα

μένον διόπερ καὶ συμβολικῶς τοῖς κλεί-θροις τῶν ἱερῶν λέοντας ὡς φύλακας παρειλήφασι.

19. Quomodo vigilantem commonstrent.

Vigilantem autem ſedulumq. hominem, aut etiam cuſtodem oſtendentes, Leonis caput pingunt, quoniam Leo vigilans oculos claudit, eoſdem quũ dormit, apertos habet, quod quidem cuſtodiæ atque excubiarum ſignum eſt. Quocirca non abſque ſignificatione templorum clauſtris, leones qui cuſtodum loco ſint, appinxerunt.



κ'. Πῶς φοβερόν.

Φοβερὸν δὲ σημαίνοντες, τῷ αὐτῷ χρῶνται σημείῳ· ἐπειδὴ ἀλκιμώτατον ὑπάρχον τοῦτο τὸ ζῶον, πάντας εἰς φόβον τοὺς ὁρῶντας φέρει.

20. Quomodo terribilem ac formidandum.

Eodem quoque, vt formidabilem notent, ſigno vtuntur, quia quũ viribus maxime polleat animal hoc, omnibus qui eum inſpexerint, metum iniicit.



κά. Πῶς νείλου ἀνάβασιν.

Νείλου δὲ ἀνάβασιν σημαίνοντες, ὃν καλοῦσιν Αἰγυπτιστὶ νοῦν, ἑρμηνευθὲν δὲ σημαίνει νέον: ποτὲ μὲν λέοντα γράφουσι, ποτὲ δὲ τρεῖς ὑδρίας μεγάλας: ποτὲ δὲ οὐρανὸν καὶ γῆν, ὕδωρ ἀναβλύζουσαν. λέοντα μὲν, ἐπειδὴ ὁ ἥλιος εἰς * λέοντα γενόμενος πλείονα τὴν ἀνάβασιν τοῦ * νείλου ποιεῖται. ὥστε * ἐμμένοντος τοῦ ἡλίου τῷ ζωδίῳ, τὸ δίμοιρον τοῦ νέου ὕδατος πλημμυρεῖ πολλάκις. ὅθεν καὶ τὰς χολέδρας, καὶ τοὺς εἰσαγωγεῖς τῶν ἱερῶν κρηνῶν, λεοντομόρφους κατεσκεύασαν οἱ * τῶν ἱερατικῶν ἔργων προεστάται ἀφ' οὗ καὶ μέ-

λέοντι m.f. vbi præpositio ἐν deest.
ποιεῖσαι τοῦ θεοῦ.
ἐμμένον ἀρχαῖον

χει νῦν κατ' ὄχλον πλεονασμοῦ ὑγρότητος.*

Τρία δ' ὑδρία, ἢ οὐρανὸν καὶ γῆν ὕδωρ βλύζουσαν, τὸ μὲν ὑδρεῖον ὁμοιοῦντες καρδίᾳ* γλῶσσαν ἐχούσῃ. καρδία μὲν ἐπειδὴ παρ' αὐτοῖς τὸ ἡγεμονικόν ἐστι τοῦ σώματος αὕτη, καθάπερ ὁ Νεῖλος τῆς *Αἰγυπτίας ἡγεμὼν καθέστηκε. γλῶσσαν δὲ, ὅτι διὰ παντὸς ἐν ὑγρῷ ὑπάρχουσαν ταύτην, καὶ γενέτειραν τοῦ εἶναι καλοῦσι. τρία δὲ ὑδρεῖα, καὶ οὔτε πλείονα, οὔτε ἥττονα, ἐπειδὴ ἡ τῆς ἀναβάσεως ἐργασία κατ' αὐτοὺς τριμερὴς ὑπάρχει. ἓν μὲν ὑπὲρ τῆς γῆς * Αἰγυπτίας τάξαντες, ἐπειδὴ ἐστι καθ' αὑτὴν ὕδατος γεννητική. ἕτερον δὲ, ὑπὲρ τοῦ ὠκεανοῦ. καὶ γὰρ ἀπὸ τούτου ὕδωρ παραγίνεται εἰς Αἴγυπτον ἐν τῷ τῆς ἀναβάσεως καιρῷ. τρίτον δὲ ὑπὲρ τῶν ὄμβρων. οἳ γίνονται κατὰ τὰ νότια τῆς Αἰθιοπίας μέρη, κατὰ τὸν τῆς ἀναβάσεως τοῦ Νείλου καιρόν. ὅτι δὲ γεννᾷ ἡ Αἴγυπτος τὸ ὕδωρ, δυνατόν ἐστιν ἐντεῦθεν μαθεῖν. ἐν γὰρ τῷ λοιπῷ κλίματι τοῦ κόσμου, αἱ τῶν ποταμῶν πλημμύραι ἐν τῷ χειμῶνι ἀποτελοῦν-

ἴσ. λείπει τῷ αὐτῷ σημείῳ χρῶνται.

καρδίαν γλώσσῃ

Αἰγύπτου

Αἰγύπτου

ται, ὑπὸ τῶν συνεχῶν ὄμβρων τοῦ τοιούτου συμβαίνοντος, μόνη δὲ ἡ Αἰγυπτίων γῆ, ἐπεὶ μέση τῆς οἰκουμένης ὑπάρχει, καθάπερ ἐν τῷ ὀφθαλμῷ ἡ λεγομένη κόρη, θέρους, ἄγει τὴν τοῦ νείλου ἑαυτῇ ἀνάβασιν.

21. Quomodo Nili aſcenſum & exundationem.

Nili inſuper inundationem ſignificantes, quem Aegyptio nomine Nun (quod ſi interpreteris, nouum ſonat) appellant, modo Leonē pingunt, modo tres magnas hydrias, modo vero cœlum ac terram aquæ copiam ſcaturientem. Leonem quidem, quod quum Sol Leonem ſubit, ampliorem Nili facit inundationē. Quādiu enim Sol in hoc ſigno perſiſtit, ſæpenumero in duplum ipſius Nili aqua excreſcit. Quare & tubos canalesq. ſacrorum fontium, * ſolent ij qui ſacris præſunt operibus, Leonis figura fabricari. Quapropter in

* ſoliti ſunt ij qui olim ſacris præerant.

in hodiernum vſque diem, dum pro ingenti inundatione preces effundunt, Leonis ſigno vti ſolent. Tres autem hydrias, aut cœlũ & terram quæ aquæ copiam ſcaturiat,* nilum perſimilem facientes cordi lingua prædito. Cordi quidem, quoniam princeps hæc & potiſſima apud ipſos habetur totius corporis pars, ſicut & Nilus totius Aegypti dux eſt ac princeps. Linguæ autem, quod quũ hęc perpetuo in humido eſſe gaudeat, inſuper & ipſam genitricẽ cauſamq. rerũ ſtatus appellant. Tres porro hydrias, nec plures, nec pauciores pingunt, quod triplex ex eorum ſententia ſit inundationis cauſſa effectrix. Vnã quidem Aegyptiæ terræ aſcribunt, quæ ex ſeſe aquam producit. Alteram Oceano, ex quo inundationis tempore aqua in Aegyptum exæſtuat. Tertiã imbribus, qui per id tempus quo intumeſcit Nilus, ad auſtrinas Aethiopiæ par-

* pingũt hydriã ſimilẽ facientes.

tes

tes contingunt. Quod autem Aegyptus ex ſeſe aquam gignat; inde facile eſt deprehendere, quod cum in cæteris orbis tractibus hyeme ſoleant exundare flumina, idq. propter imbres copioſos & aſſiduos, ſola Aegyptiorum regio, quoniam totius orbis velut vmbilicus eſt ac media non ſecus atque in oculo pupilla, æſtate ſibi inundationes Nili procreat.



κβ΄. Πῶς Αἴγυπτον γράφουσι.

Αἴγυπτον δὲ γράφοντες, θυμιατήριον καιόμενον ζωγραφοῦσι, καὶ ἐπάνω καρδίαν,

δίαν, δηλοῦντες ὅτι ὡς ἡ τοῦ ζυλοτύπου καρδία, διαπαντὸς πυροῦται, οὕτω ἡ Αἴγυπτος ἐκ τῆς θερμότητος, διαπαντὸς ζωογονεῖ τὰ ἐν αὐτῇ ἢ παρ' αὐτῇ ὑπάρχοντα.

22. Quomodo Aegyptum designent.

Aegyptum autem designantes, conflagrantem acerram pingunt, & superne cor, illud innuentes, quemadmodum zelotypi cor in perpetuo æstu ac flamma est, sic Aegyptum quia immodice calet, continenter quæ in se sunt, animare ac procreare.

Πῶς



κγʹ. Πῶς ἄνθρωπον μὴ ἀποδημήσαντα τῆς πατρίδος.

Ἄνθρωπον τῆς πατρίδος μὴ ἀποδημήσαντα σημαίνοντες, ὀνοκέφαλον ζωγραφοῦσιν, ἐπειδὴ οὔτε ἀκούει τινὸς ἱστορίας, οὔτε τῶν ἐπὶ ξένης γινομένων αἰσθάνεται.

23. Quomodo hominem qui è patria peregre nunquam profectus sit.

Hominem qui nunquam solo natali relicto, peregrinatus fuerit, significantes, Onocephalum pingunt, quia nec vllam audit historiã, neque nouit quæ apud exteras gẽtes fiunt.



κδ'. Πῶς φυλακτήριον.

Φυλακτήριον δὲ γράφειν βουλόμενοι, δύο κεφαλὰς ἀνθρώπων ζωγραφοῦσι, τὴν μὲν τοῦ ἄρσενος ἔσω βλέπουσαν, τὴν δὲ θηλυκὴν ἔξω. οὕτω γάρ, φασιν, οὐδὲν τῶν δαιμονίων ἐφάψεται. ἐπειδὴ καὶ χωρὶς γραμμάτων, τοῖς δυσὶ κεφαλαῖς ἑαυτοὺς φυλακτηριάζουσι.

24. Quomodo tutelam ac præsidium.

Præsidium autem ac remedium innuere volentes, duo pingunt hominum capita, vnum maris intro

aspi-

aſpiciens, alterum fœminæ foras. Ita enim nullum dęmonem inuadere poſſe aſſerunt. Sic enim & ſine litteris, duobus inquam capitibus ſeſe ab omni diſcrimine & inſidijs tuentur.



κέ. Πῶς ἄνθρωπον ἄπλαστον γράφουσιν.

Ἄπλαστον δὲ ἄνθρωπον γράφοντες, βάτραχον ζωγραφοῦσιν. ἐπειδὴ τούτου ἡ γένεσις ἐκ τῆς τοῦ ποταμοῦ ἰλύος ἀποτελεῖται. ὅθεν καὶ ἔσθ' ὅτε ὁρᾶται τῷ μὲν ἑτέρῳ μέρει αὐτοῦ βαβάχῳ, τῷ δὲ λοιπῷ γεώδει τινὶ ἐμφερής, ὡς καὶ * ἐκλιπόντι τῷ ποταμῷ * συνεκλιπεῖν.

ἐκλεί-ποντι. συνε-κλείπειν

Quo

'35. Quomodo imperfectum adhuc hominem, rudemq. atque informem fœtum demonstrent.

Hominem necdum omnibus in vtero membris efformatum notantes, ranam pingunt, quod hęc cum ex limo fluminis procreetur, interdum altera quidem sui parte rana, altera terrestre quippiam videatur, adeo vt deficiente flumine, ipsa quoque deficiat.



κϛʹ. Πῶς ἄνοιξιν.

Ἄνοιξιν δὲ θέλοντες δηλῶσαι, λα-

γωὸν

ζῶον ζωγραφοῦσι, διὰ τὸ πάντοτε τοὺς ὀφθαλμοὺς ἀνεῳγότας ἔχειν τοῦτο τὸ ζῶον.

26. Quomodo apertum ac patens quippiam.

Patulum autem quippiam significare volentes, leporem pingunt, quod ſemper apertos habeat oculos hoc animalis genus.



κζ'. Πῶς τὸ λέγειν.

Τὸ λέγειν δὲ γράφοντες, γλῶσσαν ζωγραφοῦσι, καὶ ὕφαιμον ὀφθαλμὸν, τὰ

μὲν

μὲν πρωτεῖα τῆς λαλιᾶς τῇ γλώσσῃ μερίζοντες, τὰ δευτερεῖα δὲ ταύτης τοῖς ὀφθαλμοῖς. οὕτω γὰρ οἱ* τε λόγοι τελέως τῆς ψυχῆς καθεστήκασι, πρὸς τὰ κινήματα αὐτῆς συμμεταβάλλοντες εἴπερ καὶ ἑτέρα λαλιὰ παρ' Αἰγυπτίοις ὀνομάζεται. ἑτέρως δὲ τὸ λέγειν σημαίνοντες, γλῶσσαν καὶ χεῖρα ὑποκάτω γράφουσι, τῇ μὲν γλώσσῃ τὰ πρωτεῖα τοῦ λόγου φέρειν δεδωκότες, τῇ δὲ χειρὶ, ὡς τὰ τῆς γλώσσης βουλήματα * ἀνυούσῃ, τὰ δεύτερα.

γε

ἀναλυούσης

27. Quomodo ſermonem.

Sermonem porro deſignantes, linguam pingunt, & ſubcruentum oculum: primas quidem ſermonis partes linguæ, ſecundas vero oculis tribuentes. Sic etenim perfecte conſiſtunt ipſius animi ſermones, quum ad eius motus ſenſaq. accommodantur ac variantur: præſertim quum apud Aegyptios animus, alter ſermo nominetur. Quin & aliter ſer-

monem innuentes, linguã ſubtusq. manum pingunt: linguæ quidem primas in loquendo adſcribentes, manui vero, vt quæ linguæ placita exequatur, ſecundas parteis.




κή. Πῶς ἀφωνίαν.

Ἀφωνίαν δὲ γράφοντες, ἀριθμὸν, ͵α λ έ. γράφουσιν, ὃς τριετοῦς ἐπιχρόνου ἀριθμὸς ἐκ τριακοσίων ἐνενήκοντα πέντε ἡμερῶν τοῦ ἔτους ὑπάρχοντος. ὀφ' ὃν χρόνον μὴ λαλῆσαν τὸ παιδίον, σημειοῦται ὡς παραπεποδισμένον τῇ γλώσσῃ.

28. Quomodo silentium.

At silentium significantes, numerum. M.LXXXXV. pingunt, qui triennij numerus est, si ex trecentis sexaginta quinque diebus annus constituatur, intra quod tempus nisi loquatur puellus, indicatur eum lingua præpeditum.



κθ'. Πῶς φωνὴν μακρόθεν.

Φωνὴν δὲ μακρόθεν βουλόμενοι δηλῶσαι, ὃ καλεῖται παρ' Αἰγυπτίοις οὐμὴ, ἀέρος φωνὴν γράφουσι, τουτέστι βροντὴν, ἧς οὐδὲν καταφθέγγει μεῖζον, ἢ δυναμικώτερον.

29. Quomodo vocem remotam.

Vocem remotam volentes significare, quod Aegyptijs vææ dicitur, sonitum pingunt aeris, hoc est tonitru, quo nihil quicquam maius aut vehementius resonat.



λʹ. Πῶς ἀρχαιογονίαν.

Ἀρχαιογονίαν δὲ γράφοντες παπύρου ζωγραφοῦσι δεσμὴν, διὰ τούτου δηλοῦντες τὰς πρώτας τροφάς. τροφῶν γὰρ οὐκ ἄν τις εὕροι, ἢ γονῆς ἀρχήν.

30. Quomodo antiquam originem.

Antiquam originem notantes, papyri faſciculum pingunt, hoc primam indicantes educationem, cuius ſicut & genituræ non facile quis initium inuenerit.



λά. Πῶς γεῦσιν.

Γεῦσιν δὲ δηλοῦντες, ἀρχὴν στόματος ζωγραφοῦσιν. ἐπειδὴ πᾶσα γεῦσις μέχρι ταύτης σώζεται. γεῦσιν δὲ λέγω τελείαν. γεῦσιν δὲ μὴ τελείαν δηλοῦντες, γλῶσσαν ἐπὶ ὀδόντων ζωγραφοῦσιν, ἐπειδὴ πᾶσα γεῦσις τούτοις τελεῖται.

31. Quomodo gustum.

Gustum innuentes, oris initium pingunt. Omnis enim gustus eo vsque retinetur. Gustum autem perfectum intelligo. Nam ad innuendum gustum imperfectum linguam admotam dentibus pingunt: his enim omnis absoluitur gustus.



μβ΄. Πῶς ψυχὴν ἐνταῦθα πολὺν χρόνον διατρίβουσαν.

δὲ Ψυχὴν * ἐνταῦθα πολὺν χρόνον διατρίβουσαν βουλόμενοι γράψαι, ἢ πλυμμύραν

μὸν, φοίνικα τὸ ὄρνεον ζωγραφοῦσι. ψυχὴν μὲν, ἐπειδὴ πάντων τῶν ἐν τῷ κόσμῳ πολυχρονιώτατον ὑπάρχει τοῦτο τὸ ζῶον. πλημμύραν δὲ, ἐπειδὴ ἡλίου ἐστὶν ὁ φοῖνιξ σύμβολον, οὗ μηδέν ἐστι πλεῖον κατὰ τὸν κόσμον. πάντων γὰρ ἐπιβαίνει καὶ * παντας ἐξερευνᾷ ὁ ἥλιος. εἶθ' οὕτω πολὺς ὀνομασθήσεται. πάντα

32. Quomodo animam longo hic tempore agentem.

Animam quæ diutiſſime in hac vita moram traxerit, aut etiã inundationem commonſtrare volentes, Phœnicem auem pingunt. Animam quidem, quòd omnium quæ toto orbe ſunt animantium, hoc maxime diuturnæ vitæ eſt. Inundationem vero, quod velut ſignum Solis ſit phœnix, quo nihil in orbe maius, cum omnia ſubeat,* omnes ſcrutetur & diſquirat. Atque adeo πολὺς hoc eſt multus vocitari ſolet. * omnia



λγʹ. Πῶς τὸν χρονίως ἀπὸ ξένης ἐπιδημοῦντα.

Καὶ τὸν χρονίως δὲ ἀπὸ ξένης ἐπιδημοῦντα δηλοῦντες πάλιν φοίνικα τὸ ὄρνεον ζωγραφοῦσιν. οὗτος γὰρ εἰς Αἴγυπτον ἐπὰν ὁ χρόνος τοῦ μοιειδίου αὐτὸν καταλαμβάνειν μέλλῃ, διὰ πεντακοσίων ἐτῶν παραγίνεται, καὶ ἀποδοὺς ἐὰν φθάσῃ ἐντὸς τῆς * Αἰγυπτίου τὸ χρεὼν, κηδεύεται μυστικῶς, καὶ ὅσα ἐπὶ τῶν ἄλλων ἱερῶν ζώων Αἰγύπτιοι τελοῦσι, ταῦτα καὶ τῷ φοίνικι ὑπάρχειν ὀφείλει. λέγεται γὰρ μᾶλλον τῶν ἄλλων ἀνθρώπων ἡλίῳ χαίρειν ὑπ᾽ Αἰγυπτίων, διὸ καὶ τὸν νεῖλον αὐτοῖς

Αἰγυπτίας

πλημμυρεῖν, ὑπὸ τῆς θερμότητος τούτου τοῦ θεοῦ, περὶ οὗ μικρὸν ἔμπροσθεν ὁ λόγος ἀποδοθήσεταί [σοι] * παρ' ἡμῶν. ἴσ. ἀπεδόθη

33. Quomodo eum qui fero tandem e regione peregrina ad ſuos redeat.

Quin & eum innuentes qui longo tempore peregrinatus, tandem in ſolũ natale remeat, rurſum phœnicem auem pingunt. Hæc enim in Aegyptum, cum tempus mortis inſtat, quingenteſimo demum anno regreditur: vbi ſi naturæ debitum perſolueritſ; magna ſolennitate ac ritu funeratur. Quæcumque enim in cæteris ſacris animatibus religioſe obſeruant Aegyptij, ea & phœnici tribui debent. fertur ſiquidem Sole magis apud Aegyptios gaudere, quam apud cæteras gentes. ideoq. Nilum ipſis ex huius Dei calore inundare, cuius rei paulo ante a nobis ratio reddita eſt.

λδ'.



λδʹ. Πῶς καρδίαν γράφουσι.


Καρδίαν βουλόμενοι γράφειν, ἶβιν ζωγραφοῦσι. τὸ γὰρ ζῶον, Ἑρμῇ ᾠκείωται, πάσης καρδίας καὶ λογισμοῦ δεσπότῃ, * ἐπεὶ καὶ ἡ ἶβις αὐτὸ καθ' αὐτὸ τῇ καρδίᾳ ἐστὶν * ἐμφερής. περὶ οὗ λόγος ἐστὶ πλεῖστος παρ' Αἰγυπτίοις φερόμενος.

ἐπειδὴ ἡ ἀμερὴς

34. Quomodo cor pingunt.

Cor volentes indicare, Ibin pingunt, quod quidem animal Mercurio attributum ac dicatum est, cordis omnisq. rationis præsidi & mode-

moderatori. Nam & Ibis per se ipsa magna ex parte cordi adsimilis est, de qua re plurimi apud Aegyptios agitantur sermones.



λέ. Πῶς παιδείαν.

Παιδείαν δὲ γράφοντες, οὐρανὸν δρόσον βάλλοντα ζωγραφοῦσι, δηλοῦντες, ὅτι ὥσπερ δρόσος πίπτουσα, εἰς πάντα τὰ φυτὰ χωρεῖ, καὶ τὰ μὲν φύσιν ἔχοντα ἁπαλύνεσθαι, ἁπαλύνει, τὰ δὲ σκληρὰ μένοντα ἐκ τῆς ἰδίας φύσεως ἀδυνατεῖ τὸ αὐτὸ τοῖς ἑτέροις ἐκτελεῖν : οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων, ἡ μὲν παιδεία κοινῇ καθέστηκεν, ἣν περ ὁ μὲν εὐφυὴς ὡς δρά-

σον ἁρπάζει, ὁ δὲ ἀφυὴς ἀδυνατεῖ τοῦτο δρᾶσαι.

35. Quomodo eruditionem, ac doctrinam.

Doctrinam autem indicantes, cœlum pingunt rorē fundens, innuentes quod quemadmodum ros decidens, in omnes quidem plantas diffunditur, at eas duntaxat mollit, quæ eius naturæ sunt vt molliri possint, cæteras vero quæ suapte natura duræ sunt, non item: sic & doctrina cōmuniter ad omnes pertingit homines, quam quisquis felici natus est ingenio, vt rorem arripit, qui vero ingenij facultate destituitur, idem efficere non potest.

ΛϚ'.



λϛʹ. Πῶς Αἰγύπτια γράμματα.

Αἰγύπτια δὲ γράμματα δηλοῦντες, ἢ ἱερογραμματέα, ἢ πέρας: μέλαν καὶ κόσκινον, καὶ σχοινίον ζωγραφοῦσιν. Αἰγύπτια μὲν γράμματα, διὰ τὸ τούτοις πάντα τὰ παρ' Αἰγυπτίοις γραφόμενα ἐκτελεῖσθαι. σχοίνῳ γὰρ γράφεται, καὶ οὐκ ἄλλῳ τινί. κόσκινον δὲ, ἐπειδὴ τὸ κόσκινον πρῶτον ὑπάρχον σκεῦος ἀρτοποιίας, ἐκ σχοίνου γίνεται. δηλοῦσιν οὖν ὅτι πᾶς ὁ ἔχων τὴν τροφὴν, μαθήσεται τὰ γράμματα, ὁ δὲ μὴ ἔχων, ἑτέρᾳ τέχνῃ χρήσεται. ἀφ' οὗ καὶ ἡ παιδεία παρ' αὐ-

τοῖς

τοῖς σβῶ καλεῖται, ὅπερ ἐστὶν ἑρμηνευθὲν, πλήρης τροφή. ἱερογραμματέα δὲ, ἐπειδὴ ζωὴν καὶ θάνατον οὗτος διακρίνει. ἔστι καὶ παρὰ τοῖς ἱερογραμματεῦσι βίβλος ἱερὰ καλουμένη ἀμβρῆς, δι' ἣν κρίνουσι τὸν κατακλιθέντα ἄῤῥωστον πότερον ζώσιμός ἐστιν, ἢ οὔ, τοῦτο ἐκ τῆς κατακλίσεως τοῦ ἀῤῥώστου σημειούμενοι. πέρας δὲ, ἐπειδὴ

* ὁ * μαθὼν γράμματα εἰς ὅρμον ζωῆς ἀΐδιον ἐλήλυθεν, οὐκέτι πλανώμενος τοῖς τοῦ βίου κακοῖς.

36. Quomodo Aegyptias litteras.

Cæterum Aegyptias litteras, aut ſacrum ſcribam, aut finem innuentes, atramentum, cribrũ & iuncum pingunt. Aegyptias quidem litteras, quod his omnis apud eos ſcriptura compleatur. Iunco enim, non alia re vlla ſcribunt. Cribrum vero appingunt, quoniam hoc cum primum ſit panis conficiendi inſtrumen-

mentum, ex iunco fit. Innuunt itaque, cuicumque victus suppetit, eum litterarum studijs animũ adiuncturũ: cui vero non suppetit, alijs operam daturum artibus. Quocirca & apud eos eruditio Sbo vocatur, quod nomen si interpreteris, plenũ alimentum sonat. Sacrum autẽ scribam, quoniam hic vitam mortemq. dignoscit. Nam est apud sacros scribas liber, sacram ambrem appellãt, cuius ope iudicium de ægroto decumbente ferunt, sit vitalis, necne; id ex ægri decubitu, signis quibusdam, perspicientes. Finem denique, quoniam qui litteras didicit, ad tranquillum vitæ portum peruenit, non iam vitæ incommodis oberrans aut fluctuans.

λζ'.



λζʹ. Πῶς ἱερογραμματέα.

Ἱερογραμματέα δὲ πάλιν, ἢ προφήτην, ἢ ἐνταφιαστὴν, ἢ σπλῆνα, ἢ ὄσφρησιν, ἢ γέλωτα, ἢ πταρμὸν, ἢ ἀρχὴν, ἢ δικαστὴν βουλόμενοι γράφειν, κύνα ζωγραφοῦσιν. Ἱερογραμματέα μὲν, ἐπειδήπερ τὸν βουλόμενον ἱερογραμματέα τέλειον γίνεσθαι, χρὴ πολλὰ μελετᾶν, ὑλακτεῖν τε συνεχῶς, καὶ ἀπηγριῶσθαι· μηδενὶ * χαριζόμενον, ὥσπερ οἱ κύνες.

* προσχαριζόμενον.

Προφήτην δὲ, ἐπειδὴ ὁ κύων ἀτενίζει παρὰ τὰ ἄλλα τῶν ζώων εἰς τὰ τῶν θεῶν εἴδωλα καθάπερ προφήτης. Ἐνταφιαστὴν δὲ τῶν ἱερῶν, ἐπειδὴ καὶ οὗτος γυμνὰ καὶ ἀνα-

ἀνατετμημένα * θεωρεῖ τὰ ὑπ' αὐτοῦ θεωρεῖται.
κηδευόμενα εἴδωλα. Σπλῆνα δὲ, ἐπειδὴ
τοῦτο τὸ ζῷον μόνον παρὰ τὰ ἕτερα, ἐλα-
φρότερον ἔχει· εἴτε θάνατος αὐτῷ, ἢ μα-
νία περιπέσοι, ἀπὸ τοῦ σπληνὸς γίνεται, καὶ
οἱ θεραπεύοντες δὲ τὸ ζῷον τοῦτο ἐν ταῖς
* κηδείαις, ἐπειδὰν μέλλωσι τελευτᾶν, καρδίαις.
ὡς ἐπὶ τὸ πλεῖστον σπληνικοὶ γίνονται. ὀσ-
φραινόμενοι γὰρ τῆς τοῦ ἀνατεμνομένου κυ-
νὸς ἀποφορᾶς, πάσχουσιν ὑπὸ τούτου. Ὀσ-
φρησιν δὲ καὶ γέλωτα καὶ πταρμὸν, ἐπειδὴ
οἱ τέλειοι σπληνικοὶ, οὔτε ὀσφραίνεσθαι,
οὔτε γελᾶν, οὔτε μὴν πτάρνυσθαι δύνανται.

37. Quomodo ſacrum ſcribam.

Rurſum ſacrum ſcribam, aut va-
tem, aut veſpillonem, aut ſplenem,
aut odoratum, aut riſum, aut ſter-
nutationem, aut magiſtratum, aut
iudicem volentes ſignare, canem
pingunt. Sacrum quidem ſcribam,
quoniam quicumque voluerit, vt
par eſt & abſolutiſſime hoc fungi

munere, cum oportet multa meditari, assidueq. omnibus canum more allatrare, & ferum esse, nulliq. gratificari. Vatem autem, quod canis pręter cætera animãtia defixis in deorum simulacra, non secus ac vates consueuere, intentisq. aspiciat oculis. Sacrorum vero pollinctoré, quod & hic nuda & resecta, quibus iusta facit, simulacra contempletur, Splenem, quoniam hunc inter cætere animalia canis leuissimum habet: & siue ei mors, siue rabies acciderit, ex splene id contingit. Enimuero & qui eius funus procurant, vbi morituri sunt, magna ex parte splenetici fiunt. Siquidẽ graui illo halitu & vapore qui ex inciso dissectoq. cane prouenit, inficiuntur. Odoratum porro, risum, ac sternutamentum: quoniam qui absolute splenetici sunt, nec odorari possunt, nec ridere, neque vero sternutare.



λή. Τίνι τρόπῳ δηλοῦσιν ἀρχὴν ἢ δικαστήν.

Ἀρχὴν δὲ, ἢ δικαστὴν ὅταν γράφωσι προστιθέασι τῷ κυνὶ καὶ βασιλικὴν στολὴν παρακειμένην σχῆμα γυμνόν. διότι ὥσπερ ὁ κύων, καθάπερ προεῖπον, εἰ τὰ τῶν θεῶν εἴδωλα ὀξυωπεῖ, οὕτω καὶ ὁ ἄρχων δικαστὴς ὢν, ἐν τοῖς παλαιοτέροις χρόνοις γυμνὸν ἐθεώρει τὸν βασιλέα. διὸ καὶ ἐπὶ τούτου προσπεριποιοῦσι τὴν βασιλικὴν στολήν.

38. Quonam modo magiſtratum innuant, aut iudicem.

Magiſtratum vero aut iudicem quum deſignant, appingunt cani & regiam veſtem, nudæ figuræ appoſitam, propterea quod vt canis, quemadmodum ſupra dixi, in deorum ſimulacra acutiſſimis intuetur oculis: ſic & magiſtratus, qui & iudex erat, vetuſtioribus temporibus nudum regem ſpectabat. Ac propterea regiam cani prætextam adiiciunt.



λθ΄. Πῶς σημαίνουσι παστοφόρον.

Παστοφόρον δὲ σημαίνοντες, φύλακα οἰκίας ζωγραφοῦσι, διὰ τὸ ὑπὸ τούτου φυλάττεσθαι τὸ ἱερόν.

39. Quomodo ſignificent eum qui ſacrum pallium geſtat.

Significantes eum qui ſacrum geſtat pallium, domus cuſtodem pingunt, quod ab eo templum cuſtodiatur.



μ'. Πῶς ἐμφαίνουσιν ὡροσκόπον.

Ὡροσκόπον δὲ δηλοῦντες, ἄνθρωπον τὰς ὥρας ἐσθίοντα ζωγραφοῦσιν, οὐχ ὅτι τὰς ὥρας ἐσθίει ὁ ἄνθρωπος. οὐ γὰρ δυνατόν. ἀλλ' ἐπειδὴ αἱ βοφαὶ τοῖς ἀνθρώποις ἀπὸ τῶν ὡρῶν ποείζονται.

40. Quomodo natalitium ſydus, ſiue eum qui horarum rationem obſeruat, exprimunt.

Natalitium ſydus horarum inſpectorẽ demonſtrantes, hominem pingunt horis veſcentem, non quod horas

horas homo comedat (id enim haud quaquam fieri poteſt) ſed quod hominibus cibi ſtatis horis parentur & apponantur.




μα´. Πῶς δηλοῦσιν ἁγνείαν.

Ἁγνείαν δὲ γράφοντες, πῦρ καὶ ὕδωρ ζωγραφοῦσιν, ἐπεὶ διὰ τούτων τῶν στοιχείων πᾶς καθαρμὸς ἐκτελεῖται.

41. Quomodo pudicitiam innuant.

Puritatem notantes, ignem & aquam pingunt, quod his elementis omnis luſtratio fiat atque expiatio.



μβʹ. Πῶς αἰνίττονται ἀθέμιτον, ἢ καὶ μῦσος.

Ἀθέμιτον δὲ δηλοῦντες, ἢ καὶ μῦσος, ἰχθὺν ζωγραφοῦσι, διὰ τὸ τὴν * τούτων βρῶσιν μισεῖσθαι καὶ * μεμιᾶσθαι ἐν τοῖς ἱεροῖς. κενοποιὸν γὰρ ἰχθὺς πᾶς, καὶ ἀλληλοφάγον.

τούτου. μεμιάνθαι.

42. Quemadmodum latenter rem nefandam atque abominandam indicent.

Nefarium autem innuentes, aut etiam abominationem, piſcem pingunt

gunt, quod horum esum qui in sacris versantur horreant atque execrentur. Est enim eius naturæ piscis omnis, vt quæ offenderit exhauriat, inq. suum ipse genus sæuiat.



μγʹ. Πῶς γράφουσι στόμα.

Στόμα δὲ γράφοντες, ὄφιν ζωγραφοῦσιν, ἐπειδὴ ὁ ὄφις οὐδενὶ ἑτέρῳ τῶν μελῶν ἰσχύει εἰ μὴ τῷ στόματι μόνον.

43. Quomodo os pingunt.

Os significantes, serpentem pingunt, quoniam serpens nullo alio membro valet, nisi ore.



μδ΄. Πῶς ἀνδρεῖον μετὰ σωφροσύνης.

Ἀνδρεῖον δὲ μετὰ σωφροσύνης δηλοῦντες, ταῦρον * ὑγιᾶ φύσιν ἔχοντα ζωγραφοῦσι. * ὑγιῆ

44. Quomodo fortem simul & temperantem.

Fortitudinem cum temperantia coniunctam innuentes, taurum integra corporis constitutione præditum pingunt. *

μέ.



με΄. Πῶς ἀκοήν.

Ἀκοὴν δὲ γράφοντες, ταύρου ὠτίον ζωγραφοῦσιν. ἀκούει γὰρ ὁ ταῦρος ἀπὸ πολλοῦ διαστήματος.

45. Quomodo auditum.

Auditum demonſtrantes, tauri auriculam pingunt. Audit enim vel ex longiſſimo interuallo taurus.



μς'. Πῶς δηλοῦσιν ἀκαθαρσίαν.

ὄρυγα Ἀκαθαρσίαν δὲ γράφοντες, * ὄρτυγα ζωγραφοῦσιν, ἐπειδὴ ἐπ' ἀνατολὴν ἐρχομένης τῆς σελήνης, ἀτενίζων εἰς τὴν θεὸν, κραυγὴν ποιεῖται, οὐκ εὐλογῶν αὐτὴν, οὐδὲ εὐφημῶν. σημεῖον δὲ τούτου ἐναργέστατον. τοῖς γὰρ ἐμπροσθίοις αὐτῆς σκέλεσιν ἀνορύσσων τὴν γῆν, ζωγραφεῖ ἑαυτοῦ τὰς κόρας, ὥσπερ ἀγανακτῶν, καὶ μὴ βουλόμενος ἰδεῖν τὴν τῆς θεοῦ ἀνατολήν. τὰ δ' αὐτὰ ποιεῖ καὶ ἐπὶ τοῦ ἡλίου θείου ἀπὸ ἀνατολῆς. διόπερ οἱ ἀρχαῖοι βασιλεῖς, τοῦ ὡροσκόπου σημαίνον-

τος

τος αὐτοῖς τὴν ἀνατολήν, ἐπικαθίζαν-
τες τούτῳ τῷ ζώῳ, διὰ μέσου αὐτοῦ ὡς
τινων γνωμόνων, τὴν τῆς ἀνατολῆς ἀ-
κρίβειαν ἐγνώριζον. διὸ καὶ οἱ ἱερεῖς τοῦτο
μόνον τῶν ζώων * ἀσφάγιστον ἐσθίουσιν. ἴσ. ἀσ-
ἐπειδὴ ἀντιδικίαν τινὰ πρὸς τὴν θεὸν φάγιστον.
ἔχον φαίνεται. καὶ γὰρ κατὰ τὴν * ἐρημίαν, ἔρημον,
οὐ * ἂν λάβηται ὑδραγωγοῦ τόπου ποτόν, ἐὰν
τοῖς χείλεσιν ἀναταράσσει. καὶ μιγνύει
τῷ ὕδατι τὴν ὕλην, τοῖς δὲ ποσὶν εἰς
αὐτὸ ἐπιπέμπει κόνιν, πρὸς τὸ μηδενὶ
ἑτέρῳ ζώῳ τοῦτο πότιμον ὑπάρξαι, οὕτω
πονηρὰ καὶ ἀπεχθὴς ἡ τοῦ * ὄρυγος ἐνομί- ὄρτυγος
σθη φύσις. οὐδὲ γὰρ οὐδὲ τοῦτο καθῆκον ἐρ-
γάζεται, τῆς θεοῦ αὐτῆς πάντα γεννώσης
καὶ αὐξανούσης, ὅσα κατὰ τὸν κόσμον ἐστὶ
χρήσιμα.

46. Quomodo innuunt immunditiam.

Porro impurum ſceleſtumq. notantes animum * coturnicem pingunt: quoniam ad ortum accedente orygē
Luna

Luna, intentis in deam oculis intuens, vociferatur, non ei benedicens, nec fausta acclamatione gratulatione ve prosequens. Cuius rei argumentũ est apertissimum, quod anterioribus cruribus terram effodiens suas ipsius pupillas humi velut pingens defigit, quasi indignabunda, inuitaq. deæ ortum aspiciés. idem quoque in exortu dei, Solis inquam, efficit. Quapropter antiqui reges, quũ sibi ortum nunciaret horarum obseruator, huic insidentes animali per medium ipsum velut Gnomones quosdam, ortus rationem ac tempus accurate certoq; cognoscebant: Quare & sacerdotes vnam hanc inter volucres * non signatam comedunt, quod simultatem quandam cum dea exercere videatur. Etenim quemcumque in deserto locum aquis scatentem nactus fuerit, posteaquam biberit, labris turbat, lutumq. aquæ commiscet

* fort. absque iugulatione.

scet

ſcet, ac pedibus in eam puluerem coniicit, idq. vt nulli alij animanti aqua ſit ad potum idonea. Adeo praua atque infeſta putatur * coturni- orygis.
cis natura. Nam ne hoc quidem officium deæ præſtat, quũ ipſa omnia quæ toto orbe ſunt vtilia gignat, augeat, ac vegetet.



μζ. Πῶς ἀφανισμόν.

Ἀφανισμὸν δὲ δηλοῦντες μῦν ζωγραφοῦσιν, ἐπειδὴ πάντα ἐσθίων, μιαίνει καὶ ἀχρηστοῖ. τῷ αὐτῷ δὲ σημείῳ χρῶνται,

ὅ

καὶ κρίσιν θέλοντες γράψαι. πολλῶν γὰρ καὶ διαφόρων ἄρτων κειμένων, ὁ μῦς τὸν καθαρώτατον αὐτῷ ἐκλεξάμενος ἐσθίει. διὸ καὶ τῶν ἀρτοκόπων κρίσις ἐν τοῖς μυσὶ γίνεται.

47. Quomodo ſubuerſionem atque interitum.

Interitum ſignificantes, murem pingunt. Hic enim omnia corrodens inquinat, & inutilia facit. Eodem vero & ſigno vtuntur, vt iudicium deſignent. Multis ſiquidem varijsq. appoſitis panibus, mus puriſſimum atque optimum delectu habito rodit. Propterea & piſtorum iudicium ex muribus ſumitur.



μη΄. Πῶς ἰταμότητα.

Ἰταμότητα δὲ δηλοῦντες, μυῖαν ζωγραφοῦσιν, ἥτις συνεχῶς ἐκβαλλομένη, * ὅτι οὐδὲν ἧττον παραγίνεται.

48. Quomodo impudentiam.

Impudentiam notantes, muſcam pingunt, quod hæc etſi crebrius abacta, nihilo minus accedat.



μθ'. Πῶς γνῶσιν ζωγραφοῦσι.

Γνῶσιν δὲ γράφοντες, μύρμηκα ζωγραφοῦσιν· ὃ γὰρ ἂν ἀσφαλῶς κρύψῃ ἄνθρωπος, οὗτος γινώσκει. οὐ μόνον δὲ, ἀλλὰ καὶ ὅτι παρὰ τὰ ἕτερα τῶν ζώων εἰς χειμῶνα πορίζόμενος ἑαυτῷ τροφὰς, οὐ διαμαρτάνει τοῦ τόπου, ἀλλ' ἄπταιστος εἰς αὐτὸν παραγίνεται.

49. Quomodo cognitionem pingunt.

Cognitionem pingentes, formicam pingunt. Si quid enim homo

tuto

tuto occultarit, hæc cognoſcit. Neque hoc ſolum nomine, ſed & quod præter cætera animantia ſibi in hyemem cibos congerens, non aberrat a loco vbi condidit, ſed abſque vllo errore ad ipſum peruenit.



ν'. Πῶς υἱὸν ζωγραφοῦσιν.

Υἱὸν δὲ βουλόμενοι γράψαι, χηναλώπεκα ζωγραφοῦσι. τοῦτο γὰρ τὸ ζῶον φιλοτεκνότατον ὑπάρχει. κἂν γὰρ διώκηταί ποτε εἰς τὸ συλληφθῆναι σὺν τοῖς τέκνοις, ὅ, τε πατὴρ, καὶ ἡ μήτηρ αὐτοῦ αὐθαιρέτως διδόασιν ἑαυτοὺς τοῖς κυνηγοῖς, ὅπως τὰ τέκνα διασωθῇ. δι' ἥνπερ αἰ-

πίαν τοῖς Αἰγυπτίοις ἔδοξε σεβάζειν τὸ ζῶον.

50. Quomodo filium pingunt.

Filium volentes significare, vulpanserem pingunt. Hoc enim animal maxime amans est liberorum. Si quando enim ipsum venator simul cum paruulis persequatur; & pater & mater vltro se venatoribus dedunt, vt seruentur paruuli. Quam ob caussam Aegyptijs placuit hoc animal colere.



να. Πῶς ἄνουν.

Πελεκᾶνα δὲ γράφοντες, ἄνουν τε ἤδη

ἢ ἄφρονα σημαίνουσιν. ἐπειδὴ δυνάμενον
ἐν τοῖς ὑψηλοτέροις κατατίθεσθαι τὰ ἑαυ-
τοῦ ᾠὰ, ὥσπερ καὶ τὰ λοιπὰ τῶν πετει-
νῶν, τοῦτο οὐ ποιεῖ. ἀλλὰ γὰρ καὶ ἀνορύξας
γῆν, ἐκεῖ κατατίθεται τὰ γεννώμενα.
ὅπερ ἐπιγνόντες ἄνθρωποι, τὸν τόπῳ
βοὸς ἀφόδευμα ξηρὸν περιτιθέασιν, ᾧ
καὶ πῦρ * ὑποβάλλουσι. θεασάμενος δὲ ὁ ἐπιβάλλουσι
πελεκὰς τὸν καπνὸν, τοῖς ἰδίοις πτεροῖς
βουλόμενος ἀποσβέσαι τὸ πῦρ, ἐκ τῶν ἐναν-
τίων κατὰ τὴν κίνησιν ἐξάπτει αὐτό. ὑφ'
οὗ κατακαιόμενα τὰ ἑαυτοῦ πτερὰ, εὐ-
συλληπτότερος τοῖς κυνηγοῖς γίνεται, δι'
ἣν αἰτίαν οὐκ ἐνομίσθη τοὺς ἱερέας ἐσθίειν
αὐτὸν, ἐπειδὴ ἅπαξ ὑπὲρ τέ-
κνων ποιεῖται τὸν ἀγῶνα. Αἰγυπτίων δὲ οἱ
* πολλοὶ ἐσθίουσι, λέγοντες ὅτι οὐ κατὰ νοῦν λοιποὶ
τὴν μάχην, ὥσπερ οἱ χηναλώπεκες, ἀλ-
λὰ κατὰ * ἄνοιαν ὁ πελεκὰν ποιεῖται. ἄνοιαν

51. Quomodo amentem.

Pelicanum auté pingentes, amentem simul ac imprudentem significant.

cant. Quum enim cæterarum volucrum more possit in locis editioribus oua reponere, id non facit: quin potius defossa terra, illic pullos collocat. Quod vbi deprchenderint homines, locum illum arido bouis stercore circumlinunt, cui & ignem subiiciunt. Pelicanus autem conspecto fumo, dum pennis suis ignem vult extinguere, contra potius earum agitatione accendit. Quo quũ conflagrent eius alæ, facile ab aucupibus capitur. Quam ob caussam non consentaneum existimarunt eo vesci sacerdotes, quum omnino pro liberis in discrimen sese coniiciat. Vulgus tamen Aegyptiorum eo vescitur, vt qui eum dicat non iudicio ac prudentia quadam, vt vulpanseres, sed * beneuolentia quadam certamen hoc suscipere.

amẽtia



γϐ′. Πῶς εὐχαριστίαν δηλοῦσι.

Εὐχαριστίαν * γράφοντες, κουκουφὰν ζωγραφοῦσι, διότι τοῦτο μόνον τῶν ἀλόγων ζώων ἐπειδὰν ὑπὸ τῶν γονέων ἐκτραφῇ, γηράσασιν αὐτοῖς τὴν αὐτὴν αὐταποδίδωσι. χάριν. ἐν ᾧ γὰρ ὑπ' αὐτῶν ἐξετράφη τόπῳ, νεοσσίαν αὐτοῖς ποιήσας τίλλει αὐτῶν τὰ πτερὰ, τροφάς τε χορηγεῖ, μέχρις οὗ πτεροφυήσαντες οἱ γονεῖς βοηθεῖν ἑαυτοῖς δυνηθῶσιν. ὅθεν καὶ τῶν θείων σκήπτρων κουκουφὰ προτίμησίς ἐστι. δὲ χαρ

52. Quomodo gratum indicent animum.

Gratum indicantes animum, Cucupham pingunt, propterea quod ſolum hoc ex mutis animantibus, poſteaquam à genitoribus educatũ fuerit, iiſdem ſenio confectis parem refert gratiam. Quo enim loco ab eis enutrita eſt, eodem nidum ipſis extruit, pennis eorum euulſis; cibumque ſubminiſtrat, donec renatis plumis, parentes ſibi ipſi opem ferre queant. Quare & diuinorum ſceptrorum cucupha inſigne atque ornamentum apud eos eſſe ſolet.



νγ'. Πῶς ἄδικον καὶ ἀχάριστον.

Ἄδικον δὲ καὶ ἀχάριστον, ἱπποτάμου ὄνυχας δύο, κάτω βλέποντας γράφουσιν. οὗτος γὰρ ἐν ἡλικίᾳ γενόμενος, πειράζει τὸν πατέρα, πότερόν ποτε ἰσχύει μαχόμενος πρὸς αὐτόν. καὶ ἐὰν μὲν ὁ πατὴρ ἐκχωρήσῃ, τόπον αὐτῷ μερίσας, οὗτος πρὸς τὴν ἑαυτοῦ μητέρα * ἐπίγαμον ἥκει, καὶ ἐᾷ τοῦ ζῆν, εἰ δὲ μὴ ἐπιτρέψειεν αὐτῷ ποιήσασθαι πρὸς τὴν μητέρα γάμον, ἀναιρεῖ αὐτὸν, ἀνδρειότερος καὶ ἀκμαιότερος ὑπάρχων. εἰς δὲ τὸ κατώτατον μέρος

ἐπὶ γάμον.

ὄνυ-

ὄνυχας δύο ἱπποποτάμου, ὅπως οἱ ἄνθρωποι τοῦτο ὁρῶντες καὶ τὴν περὶ αὐτοῦ λόγον ἐπιγινώσκοντες, προθυμότεροι εἰς εὐεργεσίαν ὑπάρχωσι.

53. Quomodo iniuſtum & ingratum.

Iniuſtum vero atque ingratum, geminos equi fluuiatilis vngues deorſum vergentes pingunt. Hic enim quum ad ætatis florem peruenerit, cũ patre pugnans periculum facit, an præpolleat. Et ſi quidem pater ceſſerit, locum ei aſſignans, ipſe cum ſua ipſius matre connubium contrahit, & eum ſinit viuere. Quod ſi non ſinat pater eum matri iungi; ipſum quũ fortior ſit ac robuſtior, interimit. Cæterum ideo geminos eius vngues deorſum maxime inflexos pingunt; vt qui hoc vident homines, huiusq. cauſam intelligunt, ad beneficentiam procliuiores ſint.



νδ'. Πῶς ἀχάριστον πρὸς τοὺς ἑαυτοῦ εὐεργέτας.

Ἀχάριστον καὶ μάχιμον τοῖς ἑαυτοῦ εὐεργέταις σημαίνοντες περιστερὰν ζωγραφοῦσιν. ὁ γὰρ ἄρσην ἰσχυρότερος γενόμενος διώκει τὸν ἑαυτοῦ πατέρα ἀπὸ τῆς μητρὸς, καὶ οὕτως αὐτῇ πρὸς γάμον μίσγεται. καθαρὸν δὲ τοῦτο τὸ ζῶον ὑπάρχειν δοκεῖ. ἐπειδὴ οὔσης λοιμώδους καταστάσεως, καὶ παντὸς ἐμψύχου τε καὶ ἀψύχου νοσωδῶς διατιθεμένου, τοὺς ἐσθίοντας, τοῦτο μόνον, οὐ μεταλαμβάνει τῆς τοιαύτης κακίας. διόπερ κατ' ἐκεῖνον

τὸν καιρὸν, οὐδὲν ἕτερον τῷ βασιλεῖ ἐν βορᾶς μέρει παρατίθεται, εἰ μὴ μόνον περιστερά. τὸ δὲ αὐτὸ τοῖς ἐν ἁγνείαις οὖσι, διὰ τὸ ὑπηρετεῖν τοῖς θεοῖς. ἱστορεῖται δὲ, ὅτι οὐ χολὴν ἔχει τοῦτο τὸ ζῶον.

54. Quomodo ingratum bene de se meritos.

Ingratum atque infestum ijs a quibus beneficio affectus est significantes, columbam pingunt. Mas enim vbi robustior euaserit, ex consortio matris patrem expellit, itaque ei connubio iungitur. Purum autem hoc animal esse videtur. Siquidem cum aëris constitutio pestilens est, omniaq. tum animata tum inanima, ea afficiuntur; quotquot hoc vno vescuntur animali, ab hac lue seruantur immunes. Ideoq. eo tempore Regi in cibo sumendo nihil aliud præter columbas apponitur, idemq. ijs qui quod dijs ministrent

ſtrent, puri caſtiq. permanent. Traditur & hoc animal felle carere.



νέ. Πῶς τὸ ἀδύνατον γενέσθαι.

Ἀδύνατον δὲ γενέσθαι σημαίνοντες, πόδας ἀνθρώπου ἐν ὕδατι περιπατοῦντας ζωγραφοῦσιν. ἢ καὶ ἄλλως βουλόμενοι τὸ αὐτὸ σημαίνειν, ἀκέφαλον ἄνθρωπον περιπατοῦντα ζωγραφοῦσιν. ἀδύνατα δὲ ἀμφότερα ὑπάρχοντα, ὀλίγως εἰς τοῦτο παρειλήφασι.

55. Quomodo id quod fieri non poteſt.

Quod fieri nequeat, pedes hominis in aqua obambulantes pingunt. Atque aliter idem ſignificare volentes, hominem abſque capite gradientem pingunt: quorum vtrumque quũ ex eorum numero ſit quæ fieri non poſſunt; merito, ad hoc innuendum ſumpta ſunt.



νς΄. Πῶς βασιλέα κάκιστον.

Βασιλέα δὲ κάκιστον δηλοῦντες, ὄφιν ζω-

ζωγραφοῦσι κοσμοειδῶς ἐσχηματισμένον,
οὗ τὴν οὐρὰν ἐν τῷ στόματι ποιοῦσι. τὸ δὲ
ὄνομα τοῦ βασιλέως ἐν μέσῳ τῷ εἱλίγμα-
τι γράφουσιν, αἰνιττόμενοι γράφειν τὸν
βασιλέα τοῦ κόσμου κρατεῖν. τὸ δὲ ὄνομα
τοῦ ὄφεως παρ' Αἰγυπτίοις ἐστὶ μεισί.

56. Quomodo regem pessimum.

Regem autem pessimum significantes, anguem pingunt in orbis figuram, cuius caudam ori admouent, nomen vero regis in media reuolutione scribunt, obscure innuentes se regem pingere orbi imperitantem. Porro angui apud Aegyptios nomen est Meisi.



νζ. Πῶς βασιλέα φύλακα.

Ἑτέρως δὲ βασιλέα φύλακα δηλοῦντες, τὸν μὲν ὄφιν ἐγρηγορότα ζωγραφοῦσιν· ἀντὶ δὲ τοῦ ὀνόματος τοῦ βασιλέως, φύλακα ζωγραφοῦσιν. οὗτος γὰρ φύλαξ ἐστὶ τοῦ παντὸς κόσμου. καὶ ἑκάστοτε τὸν βασιλέα ἀπεγρήγορον εἶναι.

57. Quomodo regem custodem.

Aliter quoque regem custodem signantes, anguem quidem vigilantem pingunt, sed pro regis nomine custo-

custodem adnectunt. Hic enim totius orbis custos est. Itaque regem assidue vigilantem esse oportere.



νη΄. Πῶς μηνύουσι κοσμοκράτορα.

Πάλιν δὲ τὸν βασιλέα κοσμοκράτορα νομίζοντες καὶ μηνύοντες, αὐτὸν μὲν ὄφιν ζωγραφοῦσιν· ἐν μέσῳ δὲ αὐτοῦ, οἶκον μέγαν δεικνύουσιν, εὐλόγως. ὁ γὰρ βασίλειος οἶκος παρ᾽ αὐτοῦ * ἐν τῷ κόσμῳ.

58. Quomodo mundi notent dominum.

Rursus regem orbis moderato-

rem exiſtimantes, & indicantes, ipſum quidem anguem pingunt, ſed in eius medio magnam domum effingunt ac repræſentant: nec ſane abſque ratione. regia enim domus quæ ab eo regitur * in mundo eſt.



νθʹ. Πῶς λαὸν πειθήνιον βασιλεῖ.

Λαὸν πρὸς βασιλέα πειθήνιον δηλοῦν-
τες, μέλισσαν ζωγραφοῦσι. καὶ γὰρ μό-
λείπει — νον τῶν ἄλλων ζώων, βασιλέα ἔχει, ᾧ τὸ
ἴσ. γλυ- — λοιπὸν τῶν μελισσῶν ἕπεται πλῆθος, κα-
κύτητος, — θὸ καὶ οἱ ἄνθρωποι πείθονται βασιλεῖ.
καὶ. — αἰνίττονται δὲ ἐκ τῆς τοῦ μέλιτος.*

ἐκ τῆς τοῦ κέντρου τοῦ ζώου δυνάμεως* χρηστὸν ἅμα καὶ εὔτονον εἶναι πρὸς *διοίκησιν.

λείπει ἴσ. ὅτι χρὴ τὸν βασιλέα.

λείπει ἴσ. πρὸς πρᾶξιν καί.

59. Quomodo populum regi morigerum.

Populum regijs iuſſis obſequentem innuentes, apem pingunt. Solæ enim hæ ex omni animantiũ genere regem habent, quem reliqua apum multitudo ſequatur, cuique non ſecus ac vulgus regi, obtemperet. Innuunt autem obſcure, tum ex mellis inſigni vtilitate, tum ex vi quam in aculeo habet hoc animal, vtilem ſimul ac potentem eſſe ad res gerendas regem,



ξ'. Πῶς βασιλέα μέρους κόσμου κρατοῦντα.

Βασιλέα δὲ οὐ τοῦ παντὸς κόσμου κρατοῦντα, μέρους δὲ βουλόμενοι σημῆναι, ἡμίτομον ὄφιν ζωγραφοῦσι, δηλοῦντες τὸν μὲν βασιλέα διὰ τοῦ ζώου, ἡμίτομον δὲ, ὅτι οὐ τοῦ παντὸς κόσμου.

60. Quomodo regem parti orbis imperantem.

Regem autem non toti terrarum orbi, ſed parti dumtaxat imperantem

tem volentes significare, anguem dimidiatum pingunt: regem quidem per ipsum animal, non toti vero orbi imperantem, ex eo quod dimidiatus sit, designantes.



ξά. Πῶς παντοκράτορα.

Παντοκράτορα δ' ἐκ τῆς τοῦ ζώου τελειώσεως σημαίνουσι, πάλιν τὸν ὁλόκληρον ὄφιν ζωγραφοῦντες, οὕτω παρ' αὐτοῖς τοῦ παντὸς κόσμου τὸ δηλικόν ἐστι πνεῦμα.

61. Quomodo late rerum potientem.

Omnium autem moderatorem

ex eiusdem animalis perfectione significant, rursum integrum pingentes anguem. Sic & apud eos spiritus est, qui per vniuersum orbem permeat.



ξϐʹ. Πῶς γναφέα.

Γναφέα δὲ δηλοῦντες, δύο πόδας ἀνθρώπου ἐν ὕδατι ζωγραφοῦσι. τοῦτο δὲ ἀπὸ τῆς τοῦ ἐρμοῦ ὁμοιότητος δηλοῦσι.

62. Quomodo fullonem.

Fullonem indicantes, geminos hominis pedes in aqua pingunt: id quod

quod ex Mercurij similitudine indicant.



ξγ'. Πῶς μῆνα.

Μῆνα δὲ γράφοντες, σελήνης σχῆμα, καθὸ καὶ πρόκειται, ἔχον εἴκοσι καὶ ὀκτὼ ἡμέρας ἰσημερινὰς μόνας, ἐξ εἰκοσιτεσσάρων ὡρῶν τῆς ἡμέρας ὑπαρχούσης, ζωγραφοῦσι, καθ' ἃς καὶ ἀνατέλλει. τὰς δὲ λοιπὰς δύο, ἐν δύσει ἐστί.

63. Quomodo mensem.

Mensem autem exprimentes, Lunae figuram eodem qui supra expositus est, habitu pingunt, comple-

ctentem octo & viginti dies æquinoctiales dumtaxat, die ex viginti quatuor horis constituto, quibus & exoritur in nostro apparens hemispherio: reliquis vero duobus in occasu est.



ξδʹ. Πῶς ἅρπαγα, ἢ πολύγονον, ἢ μαινόμενον.

Ἅρπαγα δὲ, ἢ πολύγονον, ἢ μαινόμενον βουλόμενοι σημῆναι, κροκόδειλον ζωγραφοῦσι, διὰ τὸ πολύγονον, καὶ πολύτεκνον ὑπάρχειν καὶ μαινόμενον. ἐπὰν γὰρ ἁρπάσαι τι βουλόμενος ἀποτύχῃ, θυμωθεὶς καθ' αὐτοῦ μαίνεται.

64. Quomodo rapacem, fœcundum, aut furentem.

Cæterum rapacem, fœcundum, aut inſanum volentes innuere, crocodilum pingunt, quod fœcundum maxime ſit hoc animal, multosq. liberos procreet, inſuper & crebro in furorem agatur. Vbi enim ab expetita præda exciderit, indignabundus in ſe ipſe furit.



ξέ. Πῶς ἀναπλῆν.

Ἀνατολὴν δὲ λέγοντες, δύο ὀφθαλμοὺς κροκοδείλου ζωγραφοῦσιν, ἐπειδὴ

περ παντὸς σώματος ζώου οἱ ὀφθαλμοὶ ἐκ τοῦ βυθοῦ ἀναφαίνονται.

65. Quomodo ortum.

Ortum ostendentes, geminos crocodili oculos pingunt, quoniam oculi huic animali velut ex profundo emergunt.



ξϛʹ. Πῶς δύσιν.

Δύσιν δὲ λέγοντες, κροκόδειλον κεκυφότα ζωγραφοῦσιν. αὐτότοκον γὰρ καὶ κατωφερές τὸ ζῶον.

66. Quomodo occasum.

At occasum signantes, Crocodilum inflexum ac cernuum pingunt. Ad partum enim facile, & maxime procliue est hoc animal.



ξζ΄. Πῶς σκιάζουσι σκότος.

Σκότος δὲ λέγοντες, κροκοδείλου οὐρὰν ζωγραφοῦσιν, ἐπειδὴ οὐκ ἄλλως εἰς ἀφανισμὸν καὶ ἀπώλειαν φέρει ὁ κροκόδειλος οὗ ἐὰν λάβηται ζώου, εἰ μὴ τῇ οὐρᾷ τῇ ἑαυτοῦ διαπληκτίσας ἄτονον παρασκευάσει. ἐν τούτῳ γὰρ τῷ μέρει ἡ τοῦ κροκοδεί-

κοδεί-

κοδείλου ἰσχὺς καὶ ἀνδρεία ὑπάρχει. ἱκανῶν δὲ καὶ ἄλλων ὑπαρχόντων σημείων, τῇ τῶν κροκοδείλων φύσει, αὐτάρκη τὰ δόξαντα ἐν τῷ πρώτῳ συγγράμματι εἰπεῖν.

67. Quomodo tenebras adumbrent.

Porro tenebras ſignificantes, Crocodili caudā pingunt. Neque enim aliter ad exitium & internecionem perducit crocodilus quodcumque apprehenderit animal, niſi cauda prius cæſum, inualidum reddiderit. Namque in hac corporis parte præcipua eſt crocodili vis ac robur. Cæterum quum quamplurima alia in crocodilorum natura ſigna comperiantur, hæc quæ in primum librum conferre viſum eſt, nunc ſatis erunt.

ὩΡΟΤ


ὩΡΟΥ ἈΠΟΛΛΩΝΟΣ
Νειλώου, τῆς τῶν παρ' Αἰγυπτίοις
ἱερογλυφικῶν γραμμάτων
ἑρμηνείας βιβλίον
δεύτερον.

Δ Ιὰ δὲ τῆς δευτέρας πραγματείας, περὶ τῶν λοιπῶν τὸν λόγον ὑγιᾶ σοι παραστήσομαι, ἃ δὲ καὶ ἐξ ἄλλων ἀντιγράφων οὐκ ἔχοντα τινὰ ἐξήγησιν, ἀναγκαίως ὑπέταξα.

ORI APOLLINIS NILIACI, de Sacrarum apud Aegyptios insculptarum litterarum interpretatione.

Liber Secundus.

Secundo antem volumine reliquorum tibi veram idoneamq. in medium afferam rationem: quæ & quum ex alijs exemplaribus nequaquam ſint expoſita, neceſſario ſubiungenda cenſui.



α. Τί ἀστέρα γράφοντες δηλοῦσιν.

Ἀστὴρ παρ' Αἰγυπτίοις γραφόμενος, ποτὲ μὲν θεὸν σημαίνει, ποτὲ δὲ νύκτα, ποτὲ δὲ χρόνον, ποτὲ δὲ ψυχὴν ἀνθρώπου ἄρρενος.

I. Quid ſtellam pingentes, innuant.

Depicta Aegyptijs ſtella nunc Deum ſignificat, nunc noctem, nunc vero tempus, interdum etiam hominis maſculi animam.

ϛ. Τί



β'. Τί ἀετοῦ νεοσσόν.

*Καὶ ἀετοῦ νεοσσὸν, ἀῤῥενογόνον καὶ *κυκλοειδὸν σημαίνει.* ἴσ. ἱεροσ- σός.

2. Quid aquilæ pullum.

Et aquilæ pullus maſculum, & orbiculatum quippiam indicat.



ἴσ. συνηγμένους.

γʹ. Τί δύο πόδας* συνηρμένους καὶ βεβηκότας.

συνηγμένοι.

Δύο πόδες* συνηρμένοι καὶ βεβηκότες, δρόμον ἡλίου τὸν ἐν ταῖς χειμεριναῖς τροπαῖς σημαίνουσι.

3. Quid geminos pedes iunctos ac stantes.

Gemini pedes simul compacti ac firmati, Solis cursum quum in solstitio est hyberno siue in bruma significant.

δʹ. Τί




δʹ. Τί ἀνθρώπου καρδίαν φάρυγγος ἠρτημένην.

Ἀνθρώπου καρδία φάρυγγος ἠρτημένη, ἀγαθοῦ ἀνθρώπου στόμα σημαίνει.

3. Quid hominis cor faucibus appensum.

Hominis cor faucibus appensum, boni viri os designat.



ε΄. Πῶς πολέμου στόμα.

Πολέμου στόμα δηλοῦσιν, ἀνθρώπου χεῖρες ζωγραφούμεναι, ἡ μὲν ὅπλον κρατοῦσα, ἡ δὲ τόξον.

5. Quomodo belli aciem, ac frontem exercitus ad prælium instructi.

Belli aciem indicant, hominis depictæ manus, altera scutum, altera vero arcum tenens.



ϛʹ. Τί δάκτυλον.

Ἀνθρώπου στόμαχον δηλοῖ δάκτυλος;

6. Quid digitum.

Hominis ſtomachum demonſtrat digitus.



ζ'. Πῶς νόσον δηλοῦσιν.

Ἄνθη δὲ ἀνεμώνης, νόσον ἀνθρώπου σημαίνει.

7. Quomodo morbum significent.

Flores autem anemones, morbum hominis significant.



η΄. Πῶς ὀσφυὺ ἀνθρώπου.

Ὀσφυὺ, ἢ στάσιν ἀνθρώπου βουλόμενοι ζωγραφεῖν, τὸ νωτιαῖον ὀστοῦν γράφομεν.

8. Quomodo lumbum hominis.

Lumbum aut ſtatum conſtitutionemq. hominis volentes notare, os ſpinæ dorſi pingimus.



θ'. Πῶς διαμονὴν, καὶ ἀσφάλειαν σημαίνουσιν.

Ὄρτυγος ὀστέον ζωγραφούμενον, διαμονὴν καὶ ἀσφάλειαν σημαίνει, διότι δυσπαθές ἐστι τὸ τοῦ ζώου ὀστέον.

9. Quomodo permanens aliquid & tutum ſignificent.

Coturnicis os pictum, ſtabile ac tutum quippiam indicat, quod difficile huius animalis os afficiatur ac patiatur quicquam.

ί. Πῶς



ι. Πῶς ὁμόνοιαν.

Ἄνθρωποι δύο ἀξιούμενοι, ὁμόνοιαν δηλοῦσι.

10. Quomodo concordiam.

Duo homines magiſtratus ornati inſignibus concordiam innuunt.



ιά. Πῶς ὄχλον.

Ἄνθρωπος καθωπλισμένος, καὶ τοξεύων, ὄχλον σημαίνει.

9. Quomodo turbam ac tumultum.

Armatus homo ſagittasq. iaculans, tumultum ſignificat.



ιβ'. Πῶς ἀναμέτρησιν.

Ἀνθρώπου δάκτυλος, ἀναμέτρησιν σημαίνει.

12. Quomodo dimensionem.

Hominis digitus dimensionem notat.



ιγ΄. Πῶς γυναῖκα ἔγγυον.

* ἔγκυον m.s. * Γυναῖκα ἔγγυον βουλόμενοι δηλῶσαι, ἡλίου κύκλον σὺν ἀστέρι μετὰ ἡλίου δίσκου, δίχα τετμημένου σημαίνει.

13. Quomodo desponsatam mulierem.

*prægnã tẽ m. s. * Desponsatam mulierem volentes ostendere, solis circulum, simul cum stella & ipso disco solis bipartito pingunt.



ιδʹ. Πῶς ἄνεμον.

Τὴν ἀνατολὴν ἱέραξ ἐπὶ μετεώρου θέων, ἀνέμους σημαίνει. ἔτι καὶ ἄλλως, ἱέραξ διατεταμένος τὰς πτέρυγας ἐν ἀέρι, ὅιον πτέρυγας* ἔχων, ἄνεμον σημαίνει.

*ἴσ. ἔχοντα τὸν

14. Quomodo ventum.

Accipiter ortum versus in sublime tendens, ventos ostendit. Item & aliter: Accipiter expansas in aere alas habens, ventum, qui alas quasdam habere videtur, significat.



ιε. Πῶς πῦρ.

Καπνὸς εἰς οὐρανὸν ἀναβαίνων, πῦρ δηλοῖ.

25. Quomodo ignem.

Fumus in cœlum aſcendens, ignem indicat.



ιϛʹ. Πῶς ἔργον.

Τὸ * ἄῤῥενος κέρας γραφόμενον, ἔργον σημαίνει. λείπει βοὸς.

16. Quomodo opus.

Masculi [bouis] cornu pictum, opus notat.



ιζ'. Πῶς ποινὴν.

λείπει βοὸς *γρ. πονεῖν

Τὸ δὲ θηλείας * κέρας ζωγραφούμενον * ποινὴν σημαίνει.

17. Quomodo pœnam.

a.laborē

At fœminæ cornu depictum,*pœnam ostendit.



ιή. Πῶς ἀνοσιότητα.

Προτομὴ σὺν μαχαίρᾳ χαρασσομένη, ὀσιότητα δηλοῖ.

18. Quomodo impietatem.

Imago vmbilico tenus cum gladio depicta impietatem innuit.




ιθ΄. Πῶς ὥραν.

Ἵππος ποτάμιος γεγραμμένος, ὥραν δηλοῖ.

19. Quomodo horam.

Hippopotamus depictus horam significat.



κ'. Πῶς πολυχρόνιον.

Ἔλαφος κατ' ἐνιαυτὸν βλαστάνει [τὰ] κέρατα. ζωγραφουμένη δὲ πολυχρόνιον σημαίνει.

20. Quomodo longæuum ac diuturnum.

Ceruo quotannis cornua renascuntur. Is depictus longissimam vitam significat.



κά. Πῶς ἀποστροφήν.

Λύκος, ἢ κύων ἀπεστραμμένος, ἀποστροφὴν δηλοῖ.

21. Quomodo auersionem.

Lupus aut canis auersus, auersionem monstrat.



κβ΄. Πῶς μέλλον ἔργον.

Ἀκουὴ ζωγραφουμένη, μέλλον ἔργον σημαίνει.

22. Quomodo futurum opus.

Auris picta futurum opus significat.



κγ΄. Πῶς φονέα, ἢ αἷμα.

Κροκοδείλου σφὴξ ἀεροπετὴς, ἤτοι αἷμα κροκοδείλου βλαπτικὸν, ἢ φόνον σημαίνει.

23. Quomodo percuſſorem, aut ſanguinem.

Crocodili veſpa per aerem volans, aut crocodili noxium ſanguinem, aut cædem deſignat.

κδ΄.




κδ΄. Πῶς θάνατον.

Νυκτικόραξ, θάνατον σημαίνει. ἄφνω γὰρ ἐπέρχεται τοῖς νεοσσοῖς* τῶν κορωνῶν κατὰ τὰς νύκτας, ὡς ὁ θάνατος ἄφνω ἐπέρχεται. *ex m.s. insertũ

24. Quomodo mortem.

Nycticorax mortem significat: quemadmodum enim hic de repente pullos[cornicũ]noctu, sic & mors homines nec opinantes inuadit atque opprimit.




λέ. Πῶς παλαιότατον.

Λόγοι καὶ φύλλα, ἢ βιβλίον ἐσφαγισμένον, παλαιότατον δηλοῖ.

25. Quomodo vetuſtiſſimum.

Sermones & folia, aut ſignatus liber, vetuſtiſſimum indicant.




κϛʹ. Πῶς πολιορκίαν.

Κλίμαξ πολιορκίαν διὰ τὸ ἀνώμαλον.

26. Quomodo obſidionem.

Scala obſidionem, quod inæqualis ſit atque accliuis.



κζ. Πῶς ἄπειρον, ἢ μοῦσαν, ἢ μοῖραν.

Γράμματα ἑπτὰ ἐν δυσὶ δακτύλοις περιεχόμενα, μοῦσαν, ἢ ἄπειρον ἢ μοῖραν σημαίνει.

27. Quomodo inexpertum, musam, aut fatum.

Litteræ septem duobus inclusæ digitis, musam, inexpertum, aut fatum significant.



[κή. Τί σημαίνει γραμμὴ ἐπικεκαμ-
μένη ἑτέρᾳ.

Γραμμὴ ὀρθὴ μία, ἅμα γραμμῇ ἐπικεκαμμένῃ,* ἢ] δέκα γραμμὰς ἐπι- *] è m.s.
πέδους σημαίνουσι.

28. Quid linea significet super alteram inflexa.

Recta linea simul cum altera superne inflexa, decem planas lineas indicat.



κθ'. Τί δηλοῦσι χελιδόνα γράφοντες.

Τὴν ὁλοσχερῆ σημαίνειν βουλόμενοι κτῆσιν γονικὴν καταλειφθεῖσαν τοῖς υἱέσι, χελιδόνα ζωγραφοῦσιν. ἐκείνη γὰρ κυλίει ἑαυτὴν εἰς πηλὸν, καὶ κτίζει τοῖς νεοττοῖς φωλεὸν, μέλλουσα τεθνάναι.

29. Quid innuunt, hirundinem pingentes.

Omnes parentum opes filijs relictas volentes innuere, hirundinem pingunt. Illa enim iam morti pro-

proxima, luto seipsam volutat, & pullis latebras comparat.



λ'. Τί μέλαιναν περιστεράν.

Γυναῖκα χήραν ἐπιμείνασαν ἄχρι θανάτου θέλοντες σημῆναι, περιστερὰν μέλαιναν ζωγραφοῦσιν. αὕτη γὰρ οὐ συμμίγνυται ἑτέρῳ ἀνδρὶ, ἕως οὗ χηρεύῃ.

30. Quid nigram columbam.

Mulierem viduam, quæ ad mortem vsque in eo permanserit vitæ statu, volentes significare, nigram pin-

pingunt columbam. Hæc enim quamdiu vidua eſt, alteri viro non iungitur.



λά. Τί ἰχνεύμονα.

Ἄνθρωπον ἀσθενῆ, καὶ μὴ δυνηθέντα ἑαυτῷ βοηθῆσαι δι' ἑαυτοῦ, ἀλλὰ διὰ τῆς ἄλλων ἐπικουρίας, θέλοντες δηλῶσαι, ἰχνεύμονα ζωγραφοῦσιν. ἐκείνη γὰρ ὅταν ἴδῃ ὄφιν, οὐ πρότερον ἐπιτίθεται αὐτῷ, ἀλλὰ βοῇ τοὺς ἄλλους ἐπικαλουμένη, τότε ἐναντιοῦται τῷ ὄφει.

31. Quid ichneumonem.

Hominem inualidum, & qui ſibi per

per se ipse opem ferre nequeat, sed aliorum se tueatur auxilio, volentes monstrare, ichneumonem pingunt. Hic enim conspicatus serpenté, non protinus in eum irruit, sed vocatis prius clamore alijs, tum demum ei resistit.



λβ΄. Τί δηλοῦσιν ὀρίγανον ἱερογλυφοῦντες.

Ἀνεῦψιν μυρμήκων βουλόμενοι σημῆναι, ὀρίγανον ἱερογλυφοῦσιν. αὕτη γὰρ ποιεῖ λείπειν τοὺς μύρμηκας, ἀποτιθεμένη ἐν τόπῳ ὁπόθεν ἐξέρχονται.

32. Quid notent, origanum in sacris insculpentes.

Formicarum absentiam ac discessum volentes significare, origanum inter sacras sculpturas pingunt. Hoc siquidem eo in loco conditum, vnde formicæ prodeunt, eas fugat.



λγ. Τί σκορπίον, καὶ κροκόδειλον.

Ἄνθρωπον ἐχθρὸν ἑτέρῳ ἴσῳ ἐναντιούμενον σημῆναι θέλοντες, σκορπίον καὶ κροκό-

κροκόδειλον ζωγραφοῦσιν. ἑκάτερος γὰρ ἑκάτερον ἀναιρεῖ. εἰ δὲ ἐναντίον καὶ ἀναιρετικὸν τοῦ ἑτέρου σημαίνουσι, κροκόδειλον ζωγραφοῦσιν, ἢ σκορπίον. ἀλλ᾽ εἰ μὲν ὀξέως ἀναιροῦντα, κροκόδειλον ζωγραφοῦσιν. εἰ βραδέως ἀναιροῦντα, σκορπίον, διὰ τὸ δυσκίνητον.

33. Quid ſcorpium & crocodilum.

Inimicum cum pari congredientem inimico, indicare volentes, ſcorpium & crocodilum pingunt: vterque enim alteri mutuum affert exitium. Sin vero victorem alterum, quiq. inimicum ſuſtulerit, innuant; aut crocodilum pingunt, aut ſcorpium: ſi quidem celeriter ſuſtulerit; crocodilum: ſi lente; ſcorpium, ob eius difficilem tardumq. motum.



λδ'. Τί γαλῆν.

Γυναῖκα ἀνδρὸς ἔργα περέτλυσαν βουλόμενοι σημῆναι, γαλῆν ζωγραφοῦσιν.

34. Quid mustelam.

Vbi mulierem quæ viri præstet opera, volunt exprimere, mustelam pingunt.



λέ. Τί χοῖρον.

Ὅτε βούλονται ἄνθρωπον ἐξώλη σημῆναι, χοῖρον ζωγραφοῦσι, διὰ τὸ τὴν φύσιν τοῦ χοίρου τοιαύτην εἶναι.

35. Quid porcum.

Volentes perditum hominem monſtrare, porcum pingunt: quod eiuſmodi ſit porci natura.



λς΄. Πῶς θυμὸν ἄμετρον.

Εἰ δὲ θυμὸν ἄμετρον, ὥστε καὶ ἐκ τούτου πυρέττειν τὸν θυμούμενον, λέοντα γράφουσιν, ἐκστοΐζοντα τοὺς ἰδίους σκύμνους. καὶ λέοντα μὲν, διὰ τὸν θυμόν. τοὺς σκύμνους δὲ ἐκστοϊζομένους, ἐπειδὴ τὰ ὀστᾶ τῶν σκύμνων κοπτόμενα πῦρ ἐκβάλλει.

36. Quomodo immodicam iram.

Quod ſi immoderatã iracundiam, ex qua qui ea eſt commotus, febrim con-

contraxerit; Leonem pingunt proprios catulos cauda flagellantem. Leonem quidem ob iracundiam, catulos vero cauda cæſos, quod catulorum oſſa ſi inter ſe collidantur, ignem emittunt.



λζ'. Πῶς γέροντα μουσικόν.

Γέροντα μουσικὸν βουλόμενοι σημῆναι, κύκνον ζωγραφοῦσιν, οὗτος γὰρ ἥδυτατον μέλος ᾄδει γηράσκων.

37. Quomodo ſenem Muſicum.

Senem muſicum volentes com-

monſtrare, cycnum pingunt: quod hic ſeneſcens ſuauiſſimum edat concentum.



λή. Τί δηλοῦσι κάνθαρον τυφλὸν γράφοντες.

Ἄνδρα ὑπὸ ἡλιακῆς ἀκτῖνος πυρέξαντα καὶ ἐντεῦθεν ἀποθανόντα βουλόμενοι σημῆναι, κάνθαρον τυφλὸν γράφουσιν: οὗτος γὰρ ὑπὸ τοῦ ἡλίου τυφλούμενος ἀποθνήσκει.

38. Quid significent, cæcum scarabæum pingentes.

Hominem qui ex solaribus radijs contracta febri perierit, notantes, cæcum pingunt Scarabæum, vt qui splendore solis excæcatus intereat.



λθʹ. Τί δηλοῦσιν ἡμίονον γράφοντες.

Γυναῖκα στεῖραν βουλόμενοι σημῆναι, ἡμίονον γράφουσιν. αὕτη γὰρ φύσει στεῖρά ἐστι.

39. Quid mulam.

Sterilem volentes indicare mulierem, mulam pingunt. Hæc enim natura sterilis est.



μ΄. Πῶς δηλοῦσι γυναῖκα γεννήσασαν θήλεα βρέφη.

Γυναῖκα γεννήσασαν θήλεα βρέφη πρώτως, βουλόμενοι σημῆναι, ταῦρον ἐπὶ τὰ ἀριστερὰ νεύοντα ζωγραφοῦσιν, εἰ δὲ ἄρρενα, πάλιν ταῦρον ἐπὶ τὰ δεξιὰ νεύοντα ζωγραφοῦσιν.

40. Quomodo mulierem quæ infantes feminas pepererit.

Mulierem feminas primum infantes enixam ſignificantes, taurum ſiniſtrorſum ſpectantem pingunt. Mares vero, rurſus taurum dextrorſum.



μα΄. Πῶς δηλοῦσι σφῆκας.

Σφῆκας βουλόμενοι σημῆναι, νεκρὸν ἵππον ζωγραφοῦσιν· ἐκ γὰρ αὐτοῦ ἀποθανόντος πολλοὶ γίνονται σφῆκες.

51. Quomodo veſpas.

Veſpas deſignantes, cadauer equi pingunt. Ex eo enim multæ procreantur veſpæ.



μβ'. Πῶς δηλοῦσι γυναῖκα ἐκτιτρώσκουσαν.

Γυναῖκα ἐκτιτρώσκουσαν βουλόμενοι σημῆναι, ἵππον πατοῦσαν λύκον ζωγραφοῦσιν. οὐ μόνον γὰρ πατοῦσα τὸν λύκον ἐκτιτρώσκει ἡ ἵππος, ἀλλὰ καὶ τὸ ἴχνος ἐὰν πατή-

πατήσῃ τοῦ λύκου, παραχρῆμα ἐκτιτρώσκει.

. 42. Quomodo mulierem abortientem.

Abortientem mulierem signantes, equam quæ lupum conculcet, pingunt. Non solum enim si lupum calcarit, abortum facit equa, sed & si lupi calcarit vestigium, abortit protinus.



μϛ'. Πῶς ἄνθρωπον ἰασθέντα ἑαυτὸν ἀπὸ χρησμοῦ.

Ἄνθρωπον ἀπὸ χρησμοῦ ἰατρεύοντα ἑαυ-

ἑαυτὸν βουλόμενοι σημῆναι, φάσσαν κρατοῦσαν φύλλον δάφνης ζωγραφοῦσιν. ἐκείνη γὰρ ὅτε ἀῤῥωστεῖ, φύλλον ἐπιτίθησι δάφνης εἰς τὴν νοσσιὰν ἑαυτῆς καὶ ὑγιαίνει.

34. Quomodo hominem, qui ſeſe reſponſo ab oraculo accepto ſanarit.

Hominem, qui ſe ipſe ex oraculo priſtinæ ſanitati reſtituerit, volentes annuere, palumbum pingunt lauri folium tenentem. Hic enim vbi morbo laborat, lauri folium in nidum ſuum inferens, conualeſcit.



μδʹ. Πῶς κώνωπας πολλούς.

Κώνωπας πολλοὺς ἐπιφοιτῶντας βουλόμενοι ζωγραφῆσαι, σκώληκας γράφουσιν. ἐκ τούτων γὰρ γίνονται οἱ κώνωπες.

44. Quomodo culicum copiam.

Excreſcentem & aduentantem culicum copiam exprimere cupientes; vermes pingunt. Siquidem ex his gignuntur culices.



με'. Πῶς ἄνδρα μὴ ἔχοντα χολὴν, ἀλλ' ἀφ' ἑτέρου δεχόμενον.

Ἄνδρα μὴ ἔχοντα χολὴν αὐτοφυῶς, ἀλλ' ἀφ' ἑτέρου δεχόμενον γράφοντες, περιστερὰν ζωγραφοῦσιν ἔχουσαν τὰ ὀπίσθια ὀρθά. ἐν ἐκείνοις γὰρ τὴν χολὴν ἔχει.

45. Quomodo hominem qui cum ex se biliosus non sit, ab altero tamen bile commoueatur.

Hominem qui suapte natura bile careat, sed eam ab altero suscipiat; no-

notantes, columbam pingunt dorſo
erecto: illic enim bilem habet.



μϛ΄. Πῶς ἄνθρωπον ἀσφαλῶς οἰκοῦ-
ντα πόλιν.

Ἄνθρωπον ἀσφαλῶς οἰκοῦντα πόλιν
σημῆναι βουλόμενοι, ἀετὸν λίθον βαστά-
ζοντα ζωγραφοῦσιν. ἐκεῖνος γὰρ ἀπὸ θα-
λάττης, ἢ ἀπὸ γῆς λίθον ἐπαίρει, καὶ τί-
θησιν εἰς τὴν ἰδίαν νεοσσιὰν, διὰ τὸ
ἀσφαλῶς μένειν.

46. Quomodo hominem qui tuto
vrbem incolat.

Vt hominem ſignificent, qui tuto
vrbem

vrbem habitat, aquilam pingunt, quæ lapidem geſtet. Hæc enim e mari vel terra ſublatum lapidem in ſuum infert nidum, quo tutior ſit ac firmior.



μζ. Πῶς ἄνθρωπον ἀσθενῶς ἔχοντα, καὶ ὑφ᾽ ἑτέρου καταδιωκόμενον.

Ἄνθρωπον ἀσθενῶς ἔχοντα, καὶ καταδιωκόμενον ὑπὸ ἰσχυροτέρου, βουλόμενοι σημῆναι, ὠτίδα καὶ ἵππον ζωγραφοῦσιν, αὕτη γὰρ ἵπταται, ὅταν ἴδῃ ἵππον.

47. Quomodo inferiorem debilioremq. hominem, quem alius persequatur.

Debiliorem hominem, quem validior ac potentior insectetur, volentes designare, otidem & equum pingunt. Hæc enim equo conspecto protinus auolat.



μή. Πῶς ἄνθρωπον δηλοῦσι προσφεύγοντα τῷ ἰδίῳ πάτρωνι καὶ μὴ βοηθούμενον.

Ἄνθρωπον προσφεύγοντα τῷ ἰδίῳ

πα-

πάτρωνι καὶ μὴ βοηθούμενον, θέλοντες δηλῶσαι, στρουθὸν καὶ γλαῦκα ζωγραφοῦσιν. οὗτος γὰρ θηρευόμενος, πρὸς τὴν γλαῦκα τρέχει καὶ πρὸς αὐτῇ ὢν πιέζεται.

18. Quomodo eum qui ad proprium patronum confugiens nullum tamen ab eo sentit auxilium.

Hominem qui ad proprium patronum confugiat, nec eius subleuetur auxilio, monstrare cupientes, passerem & noctuam pingunt. Hic enim dum aucupum venatione petitur, ad noctuam accurrit, a qua mox opprimitur.



μθ'. Πῶς ἄνθρωπον δηλοῦσιν ἀσθενῆ καὶ προπετευόμενον.

Ἄνθρωπον ἀσθενῆ καὶ προπετευόμενον βουλόμενοι σημῆναι νυκτερίδα ζωγραφοῦσιν. ἐκείνη γὰρ μὴ ἔχουσα πτερὰ, ἵπταται.

49. Quomodo hominem qui quum viribus non valeat, temere tamẽ aliquid ſuſcipit, atque audacius ſe gerit.

Imbecillum hominem laſciuientem tamen & audacius aliquid mo-

lientem, cum monſtrare voluerint, veſpertilionem pingunt. Hæc enim etſi alas non habet, volare tamen conatur.



ν΄. Πῶς γυναῖκα θηλάζουσαν, καὶ καλῶς ἀνατρέφουσαν.

Γυναῖκα θηλάζουσαν, καὶ καλῶς ἀνατρέφουσαν βουλόμενοι ζωγραφῆσαι. ζυγόνα ζωγραφοῦσιν, αὕτη γὰρ μόνη τῶν ἄλλων πτηνῶν, ὀδόντας καὶ μαστοὺς ἔχει.

50.

50. Quomodo lactantem mulierem, optimeq. nutrientem.

Mulierem lactantem ac bene nutrientem vbi pictura exprimere volebant, turturem pingebant. Sola enim inter omnes volucres, hæc dentes ac mammas habet.



να. Πῶς ἄνθρωπον κηλόμενον ὀρχήσει.

Ἄνθρωπον δι' ὀρχήσεως καὶ αὐλητικῆς κηλόμενον βουλόμενοι σημῆναι, τρυγόνα ζωγραφοῦσιν. αὕτη γὰρ ὑπὸ αὐλοῦ καὶ ὀρχήσεως ἁλίσκεται.

51. Quomodo hominem qui tripudio capiatur ac demulceatur.

Hominem ſaltatione tibiarumq. cantu gaudentem notantes, turturem pingunt. Hæc ſiquidem tibia ac ſaltatione capitur.



νϐʹ. Πῶς ἄνθρωπον μυστικόν.

Ἄνθρωπον δὲ μυστικὸν, καὶ τελετὴν βουλόμενοι σημῆναι, τέττιγα ζωγραφοῦσιν. οὗτος

οὗτος γὰρ διὰ τοῦ στόματος οὐ λαλεῖ, ἀλλὰ διὰ τῆς ῥάχεως φθεγγόμενος, καλὸν μέλος ἀείδει.

52. Quomodo ſacris initiatum hominem.

Rebus ſacris ceremonijsq. addictum ſignificantes, cicadam pingunt. Hæc enim non ore, ſed dorſo reſonans, pulcherrimum edit dulciſſimumq. concentum.



νγʹ. Πῶς βασιλέα ἰδιάζοντα, καὶ μὴ ἐλεοῦντα τοῖς πταίσμασι.

Βασιλέα ἰδιάζοντα, καὶ μὴ ἐλεοῦντα

ἐν τοῖς πταίσμασι βουλόμενοι σημῆναι, ἀετὸν ζωγραφοῦσιν. οὗτος γὰρ ἐν τοῖς ἐρήμοις τόποις ἔχει τὴν * νοσσιὰν, καὶ * ὑψηλότερον πάντων τῶν πετεινῶν ἵπταται.

νεοσσιὰν' ὑψηλότερος.

53. Quomodo ſeorſum agentem regem, nec ſubiectorum lapſibus veniam dantem.

Regem qui ſolitudine gaudeat, quiq. errata non condonet, ſi velint ſignificare, aquilam pingunt. Hæc enim deſertis in locis nidum ſibi conſtruit, ſublimiusq. ceteris volucribus volat.



νδ΄. Πῶς ἀποκατάστασιν πολυχρόνιον.

Ἀποκατάστασιν δὲ πολυχρόνιον βουλόμενοι σημῆναι, φοίνικα τὸ ὄρνεον ζωγραφοῦσιν. ἐκεῖνος γὰρ ὅτε γεννᾶται, ἀποκατάστασις γίνεται πραγμάτων. γεννᾶται δὲ τοιούτῳ τρόπῳ. ὅταν μέλλῃ τελευτᾷν ὁ φοῖνιξ ῥήσσει ἑαυτὸν ἐπὶ τὴν γῆν, καὶ ὀπὴν ἐκ τοῦ ῥήγματος λαμβάνει, καὶ ἐκ τοῦ ἰχῶρος τοῦ καταῤῥέοντος, [διὰ τῆς ὀπῆς] ἄλλος γεννᾶται. οὗτός τε ἅμα * τῇ πτεροφυΐ- τῷ πτώσει, σὺν τῷ πατρὶ πορεύεται εἰς τὴν ῥοφυῆσαι. ἡλίου πόλιν τὴν ἐν Αἰγύπτῳ καὶ παραγενό-

μενος ἐκεῖ ἅμα τῇ ἡλίου ἀνατολῇ, ἐκεῖσε τελευτᾷ. καὶ μετὰ τὸν θάνατον τοῦ πατρὸς, ὁ νεοσσὸς πάλιν ἐπὶ τὴν ἰδίαν πατρίδα ἄπεισιν. οἱ δὲ ἱερεῖς τῆς Αἰγύπτου, τοῦτον τὸν ἀποθανόντα φοίνικα θάπτουσι.

54. Quomodo diuturnam rerum instaurationem.

Instaurationem autẽ diuturnam, & quæ post multa fiat sæcula, volentes indicare, phœnicem auem pingunt. Hic enim dum nascitur, rerum vicissitudo fit & innouatio. Gignitur autem hunc in modum: Iam iam moriturus phœnix in terram sese summo impetu proiicit, vnde & vulnus accipit. Ex sanie vero [vulneris] defluente alius gignitur, qui simul ac pennæ ei natæ sunt, cum patre Heliopolin, quæ in Aegypto est, proficiscitur: quo quũ peruenerit, pater illic, simul ac Sol ortus est, moritur: post cuius mortem

tem pullus in ſuam redit patriam. At phœnicem hunc vita functum Aegyptij ſacerdotes ſepulturæ mandant.




νέ. Πῶς φιλοπάτορα.

Φιλοπάτορα βουλόμενοι σημῆναι ἄνθρωπον, πελαργὸν ζωγραφοῦσιν. ὑπὸ γὰρ τῶν γεννησάντων ἐκτραφεὶς, οὐ χωρίζεται τῶν ἰδίων πατέρων, ἀλλὰ παραμένει αὐτοῖς ἄχρις ἐχάτου γήρως, θεραπείαν αὐτοῖς ἀπονέμων.

55. Quomodo patris amantem.

Patris ſtudioſum hominem innuen-

innuentes, ciconiam pingunt. Hæc enim a parentibus enutrita numquam ab ipſis ſciungitur, ſed ad extremum vſque ſenium vna permanet, pietatem ipſis obſeruantiamq. reſpondens.



νϛʹ. Πῶς τέκνα δηλοῦσιν ἐπιβουλεύοντα τοῖς μητράσιν.

Τέκνα ἐπιβουλεύοντα τοῖς μητράσι σημῆναι βουλόμενοι, ἔχιδναν ζωγραφοῦσιν. αὕτη γὰρ ἐν τῇ * οὐ τίκτεται, ἀλλ' ἐκβιβρώσκουσα τὴν γαστέρα τῆς μητρὸς ἐκπορεύεται.

ἴσ. λείπει ὠδίνῃ.

56. Quomodo liberos matribus insidiantes.

Liberos matri insidiantes vt demonstrent, viperam pingunt. Nam hæc non iuxta cæterorum animantium naturam in lucem editur, sed exeso diruptoq. matris prodit vtero.



νζ. Πῶς ἄνθρωπον δηλοῦσιν ὑπὸ κατηγορίας λοιδορηθέντα καὶ ἀσθενήσαντα.

Ἄνθρωπον ὑπὸ κατηγορίας, λοιδορηθέντα καὶ* ἀσθενήσαντα ἐντεῦθεν βου- λόμε.

* νοσήσαντα.

λόμενοι σημῆναι, βασιλίσκον ζωγραφοῦσιν. ἐκεῖνος γὰρ τοὺς πλησιάζοντας τῷ ἑαυτοῦ φυσήματι φονεύει.

57. Quomodo hominem qui ab accuſatore conuicijs affectus, morbum inde contraxerit.

Hominem qui ex accuſatore conuicijs affectus in ægritudinem inciderit, ſignificare cupientes, baſiliſcum pingunt. Hic enim propius accedentes afflatu ſuo perimit.




νη΄. Πῶς ἄνθρωπον ὑπὸ πυρὸς καιόμενον.

Ἄνθρωπον ὑπὸ πυρὸς καιόμενον βουλόμε-

λόμενοι σημῆναι, σαλαμάνδραν ζωγραφοῦσιν. αὕτη γὰρ ἑκατέρᾳ τῇ κεφαλῇ ἀναιρεῖ.

58. Quomodo hominem qui igne vratur.

Hominem qui igne comburatur dum significant, Salamandram pingunt. Hæc enim vtroque capite interimit.




νθ' Πῶς ἄνθρωπον τυφλόν.

Ἄνθρωπον τυφλὸν βουλόμενοι σημῆναι, ἀσπάλακα ζωγραφοῦσιν. ἐκεῖνος γὰρ ὀφθαλμοὺς οὐκ ἔχει, οὔτε ὁρᾷ.

59.

59. Quomodo cæcum hominem.

Cæcum significantes, talpam pingunt, qui neque oculos habet, neque omnino videt.



ξ΄. Πῶς ἀπρόϊτον ἄνθρωπον.

Ἄνθρωπον ἀπρόϊτον βουλόμενοι σημῆναι, μύρμηκα καὶ πτερὰ νυκτερίδος ζωγραφοῦσι, διότι τιθεμένων τῶν πτερῶν εἰς τὴν νεοσσιὰν τῶν μυρμήκων, οὐ προέρχεται αὐτῶν τις.

60. Quomodo hominem qui domi ſeſe continet.

Hominem qui domo non exeat ſignificantes, formicam ſimulq. pennas veſpertilionis pingunt. Huius enim pennis ad formicarum nidos admotis, nulla ex ipſis egreditur.



ξά. Πῶς ἄνθρωπον διὰ τῆς οἰκείας ἐξωλείας βλαπτόμενον.

Ἄνθρωπον διὰ τῆς ἰδίας ἐξωλείας βλαπτόμενον σημῆναι βουλόμενοι, κάστορα ζωγραφοῦσιν· ἐκεῖνος γὰρ καταδιωκόμε-

κόμενος, εἰς τὴν ἄγραν τοὺς ἰδίους διδύ-
μους ἀποσπῶν ῥίπτει.

61. Quomodo hominem qui ſibi ipſe damni ac perniciei autor ſit.

Eum qui proprio & a ſe illato damno lædatur, volentes ſignare, caſtorem pingunt. Hic enim quum ſe venatione peti videt, proprios teſtes euulſos in prædam obiicit.



ξβ'. Πῶς ἄνθρωπον κληρονομηθέντα ὑπὸ μεμισημένου τέκνου.

Ἄνθρωπον κληρονομηθέντα ὑπὸ με-

μισή-

μισημένυ τέκνυ βυλόμενοι σημῆναι, πίθηκον ἔχοντα ὀπίσω ἕτερον μικρὸν πίθηκον ζωγραφοῦσιν. ἐκεῖνος γὰρ γεννᾷ δύο πιθήκυς. καὶ τὸν μὲν ἕνα αὐτῶν φιλεῖ λίαν, τὸν δὲ ἕτερον μισεῖ. ὃν δὲ φιλεῖ, ἔμπροσθεν βαστάζων φονεύει. ὃν δὲ μισεῖ, ὄπισθεν ἔχει, καὶ ἐκεῖνον ἐκτρέφει.

62. Quomodo hominem qui ſibi inuiſo filio hæreditatem reliquerit.

Hominem cuius bonis inuiſus filius ſucceſſerit, innuentes, ſimium pingũt, retroq. paruum alterum. Is enim quũ geminos pariat, ex his alterum ſupra modum diligit, alterum edit. Quem autem diligit, ante ſe aſſidue geſtans, ſuffocat. At quem odit, retro habet, & deinceps educat.




ξγ'. Πῶς ἄνθρωπον τὰ ἴδια ἐλαττώματα κρύπτοντα.

Ἄνθρωπον τὰ ἴδια ἐλαττώματα κρύπτοντα βουλόμενοι σημῆναι, πίθηκον οὐροῦντα ζωγραφοῦσιν. οὗτος γὰρ οὐρῶν κρύπτει τὸν ἴδιον οὖρον.

63, Quomodo hominem lapſus ſuos tegentem.

Cum notare eum volunt qui delicta aut errata ſua occultet, ſimium meientem pingunt. Hic enim meiens vrinam occulit.

ξδ'.



ξδ΄. Πᾶς τινὰ κατὰ τὸ μᾶλλον
ἀκούοντα.

Τινὰ δὲ κατὰ τὸ μᾶλλον ἀκούοντα θέλοντες σημῆναι, αἶγα ζωγραφοῦσιν· αὕτη γὰρ ἀναπνεῖ διὰ τῶν ῥωθώνων, καὶ τῶν ὤτων.

64. Quomodo eum qui auditu
magis valeat.

Eum qui acutius audiat volentes innuere, capram pingunt, quæ & naribus, & auribus respirat atque audit.



ξέ. Πῶς ἄστατον.

Τινὰ δὲ ἄστατον καὶ μὴ μένοντα ἐν ταυτῷ, ἀλλ᾽ ὁτὲ μὲν ἰσχυρὸν καὶ θρασὺν, ὁτὲ δὲ ἀσθενῆ καὶ δειλὸν βουλόμενοι σημῆναι, ὕαιναν ζωγραφοῦσιν. αὕτη γὰρ ὁτὲ μὲν ἄῤῥην γίνεται, ὁτὲ δὲ θήλεια.

65. Quomodo instabilem.

Instabilem quempiam, neque in eodem persistentem statu, sed modo robustum & audacem, modo

vero

vero imbecilium ac timidum volentes designare, hyænam pingunt. Hæc enim nonnunquam mas est, nonnunquam femina.



ξϛʹ. Πῶς ἄνθρωπον ὑπὸ ἐλαττόνων ἡττώμενον.

Ἄνθρωπον δὲ ἡττώμενον ὑπὸ [τῶν] ἐλαττόνων βουλόμενοι σημῆναι, δύο δέρματα ζωγραφοῦσιν, ὧν τὸ μὲν ὑαίνης ἐστὶ, τὸ δὲ ἄλλο παρδάλεως. ἐὰν γὰρ ὁμοῦ τεθῇ τὰ δύο ταῦτα δέρματα, τὸ μὲν τῆς παρ δάλεως ἀποβάλλει τὰς τρίχας, τὸ δὲ ἄλλο οὔ.

66. Quomodo eum qui ab inferioribus victus sit.

Eum qui inferiori & inualidiori cesserit, quum innuere volunt, geminas pelles pingunt; hyænæ vnã, alteram pardi. Hæ enim si simul iungantur; pardi quidem pellis pilos abiicit, altera non item.



ξζ΄. Πῶς ἄνθρωπον τοῦ ἰδίου ἐχθροῦ περιγινόμενον, ἢ νικώμενον.

Ἄνθρωπον τοῦ ἰδίου ἐχθροῦ περιγινόμε-

τον δηλοῦντες, ὕαιναν ἐπὶ τὰ δεξιὰ στρεφομένην ζωγραφοῦσιν. ἐὰν δὲ νικώμενον, ἀνάπαλιν ἐπὶ τὰ ἀριστερὰ στρεφομένην ζωγραφοῦσιν. αὕτη γὰρ διωκομένη ἐὰν ἐπὶ τὰ δεξιὰ στραφῇ, ἀναιρεῖ τὸν διώκοντα. ἐὰν δὲ ἐπὶ τὰ ἀριστερὰ, ἀναιρεῖται ὑπὸ τοῦ διώκοντος.

67. Quomodo hominem inimico ſuperiorem, vel inferiorem.

Eum qui inimico ſuperior euaſerit, monſtrantes, hyænam ad dextram verſam pingunt: rurſus eandem ſiniſtrorſum, victum indicãtes. Hæc enim quum ab aduerſario inuaditur, ſi ad dexteram deflexerit, inſequentem interimit: ſi ad ſiniſtram, ab eodem perimitur.



ξη′. Πῶς ἄνθρωπον παρελθόντα τὰς ἐπενεχθείσας αὐτῷ συμφορὰς ἀφόβως

Ἄνθρωπον παρελθόντα τὰς ἐπενεχθείσας αὐτῷ συμφορὰς ἀφόβως ἄχρι θανάτου βουλόμενοι δηλῶσαι, δέρμα ὑαίνης ζωγραφοῦσιν. ἐὰν γὰρ τις τὸ δέρμα τοῦτο περιβάληται, καὶ παρέλθῃ διά τινων ἐχθρῶν, οὐ μὴ ἀδικηθήσεται ὑπό τινος, ἀλλὰ παρέρχεται ἀφόβως.

68. Quomodo eum qui intrepide oblatas sibi pertulerit calamitates.

Eum qui ad extremum vſque vitæ ſpiritum omnes, in quas incidit calamitates, æquo & conſtanti ſuperarit animo, ſi velint monſtrare, pellem pingunt hyænæ. Hac enim ſuccinctus quis, etſi per medios hoſtes feratur, intrepidus illæſusq. præteribit.



ξθ'. Πῶς ἄνθρωπον διανθέντα τοῖς ἰδίοις ἐχθροῖς.

Ἄνθρωπον διανθέντα ὑπὸ τῶν ἰδίων ἐχ-

ἐχθρῶν, καὶ μετὰ ζημίας μικρᾶς ἀπαλλαγέντα βουλόμενοι σημῆναι, λύκον ζωγραφοῦσιν, ἀπολέσαντα τὸ ἄκρον τῆς οὐρᾶς· οὗτος [γὰρ] μέλλων θηρεύεσθαι, ἀποβάλλει τὰς τρίχας καὶ τὸ ἄκρον τῆς οὐρᾶς.

69. Quomodo hominem ab hoſtibus oppreſſum.

Circumuentum oppreſſumq. ab hoſtibus, & qui minimo damno ſeſe diſcrimine exemerit, indicare volentes, lupum pingunt, amiſſa extrema cauda. Hic enim a venatoribus indagandus, pilos extremamq. caudam reſecat.



ό. Πῶς ἄνθρωπον φοβούμενον τὰ ἐπισυμβαίνοντα αὐτῷ ἐκ τοῦ ἀφανοῦς.

Ἄνθρωπον φοβούμενον τὰ ἐπισυμβαίνοντα αὐτῷ ἐκ τοῦ ἀφανοῦς βουλόμενοι σημῆναι, λύκον καὶ λίθον ζωγραφοῦσιν. οὗτος γὰρ οὔτε σίδηρον, οὔτε ῥάβδον φοβεῖται, ἀλλὰ μόνον λίθον. ἀμέλει ἐὰν τις προσρίψῃ τούτῳ λίθον, δ᾽ εὑρήσει αὐτὸν πτοούμενον καὶ ὅπου ἂν πληγῇ τῷ λίθῳ ὁ λύκος, σκώληκας ἐκ τῆς πληγῆς ἀναφέρει.

71. Quomodo hominem ea timentem quæ sibi ex improuiso, occultaq. quadam ratione contingunt.

Eum qui discrimina timeat sibi ex insperato occultoq. obiecta, cum monstrare voluerint; lupum ac lapidem pingunt. Hic enim neque sibi a ferro neque a virga sed a lapide dumtaxat timet. Nimirum si quis in eum lapidem coniecerit, consternatum illico deprehendet. & vbicumque lapis ei vulnus inflixerit; ibi succrescere solent pullulareq. vermes.



οά. Πῶς ἄνθρωπον ἐπὶ θυμῷ σωφρονισθέντα ὑπὸ πυρός.

Ἄνθρωπον ὑπὸ πυρὸς σωφρονισθέντα, καὶ ἐπὶ θυμῷ, θέλοντες δηλῶσαι, λέοντας καὶ δᾶδας ζωγραφοῦσιν. οὐδὲν γὰρ ἄλλο φοβεῖται ὁ λέων, ὡς τὰς ἀνημμένας δᾶδας. καὶ ὑπ' οὐδενὸς δαμάζεται ὡς ὑπὸ τούτων.

71. Quomodo hominem ob iracundiam igne castigatum.

Hominem igne castigatum, idq. ob furorem, volentes monstrare, leo-

leones & faces pingunt. Nihil enim æque timet leo, atque accensas faces, nullaq. magis re domatur, quam his.



οβʹ Πῶς ἄνθρωπον πυρέττοντα, καὶ ὑφ' ἑαυτοῦ θεραπευθέντα.

Ἄνθρωπον πυρέττοντα καὶ ὑφ' ἑαυτοῦ θεραπευθέντα βουλόμενοι δηλῶσαι, λέοντα ζωγραφοῦσι πίθηκον τρώγοντα. ἐκεῖνος γὰρ ἐὰν πυρέξῃ, φαγὼν πίθηκον ὑγιαίνει.

72. Quomodo febricitantem hominem, qui ſibi ipſe medeatur.

Eum qui febri laborans ſe ipſe curet, monſtrantes, Leonem pingunt, qui ſimiam voret. Is enim febre correptus, ſi ſimiam vorarit, protinus conualeſcit.



ογ΄. Πῶς ἄνθρωπον σωφρονισθέντα ἀπὸ τῆς πρώην ἐξωλείας.

Ἄνθρωπον ἀπὸ ἐξωλείας τῆς πρώην ὕστερον σωφρονισθέντα βουλόμενοι δηλῶσαι, ταῦρον ζωγραφοῦσι περιδεδεμένον ἀγριο-

ἀγριοσυκέᾳ. οὗτος γὰρ ὅταν ὀργᾷ, δεσμεύ-
ται ἀγριοσυκῇ, καὶ ἡμεροῦται.

73. Quomodo hominem prioribus damnis & calamitatibus admonitum ac emendatum.

Eum qui ex ijs in quas paulo ante inciderit calamitatibus postea modestior euaserit, si innuere velint, taurũ pingunt caprifico reuinctũ. Is enim si ferociat; caprifico ligatus mansuescit.



οδʹ. Πῶς ἄνθρωπον σωφροσύνην ἔχοντα ἀμετάβλητον.

Ἄνθρωπον σωφροσύνην ἔχοντα ἀ-

μετά-

μετάβλητον, καὶ μὴ σταθηρὸν, βουλόμενοι σημῆναι, ταῦρον ζωγραφοῦσι περιδεδεμένον τὸ δεξιὸν γόνυ. τοῦτον γὰρ ἐὰν δήσῃς τῷ δεξιῷ γόνατι, καρποδέσμιον παρακολουθοῦντα εὑρήσεις.

74. Quomodo hominem necdum certa ſtabiliq. temperantia prædìtum.

Dubiæ parumq. ſtabilis temperantiæ hominem volentes oſtendere, taurum pingunt dextro genu alligatum. Hunc enim ſi dextro genu vinxeris; iuncturam pedis conſequi deprehendes.



οέ. Πῶς ἄνθρωπον προβάτων καὶ αἰγῶν φθορέοικον.

Ἄνθρωπον προβάτων καὶ αἰγῶν φθορέοικον βουλόμενοι σημῆναι, αὐτὰ τὰ ζῶα γράφουσι τρώγοντα κόνυζαν. ταῦτα γὰρ φαγόντα κόνυζαν, ἀποθνήσκει δίψῃ κατασχεθέντα.

75. Quomodo domesticum ouium & caprarum mactatorem.

Eum qui mactandis ouibus & capris

pris domum exhaurit & perdit, volentes ſignificare, ea pingunt animantia conyza veſcentia. Hanc enim herbam vbi paſta fuerint, ſiti detenta pereunt.




εϛ'. Πῶς ἄνθρωπον τρώγοντα δηλοῦσιν.

Ἄνθρωπον τρώγοντα βουλόμενοι σημῆναι, κροκόδειλον ζωγραφοῦσιν ἔχοντα τὸ στόμα ἀνεῳγμένον. ἔτος γάρ. *

76. Quomodo hominem edentem innuunt.

Veſcentem hominem ſignificantes, pingunt crocodilum ore aperto. Hic enim *



οζ. Πῶς ἅρπαγα ἄνθρωπον καὶ ἀνενέργητον σημαίνουσιν.

Ἅρπαγα ἄνθρωπον καὶ ἀνενέργητον βουλόμενοι σημῆναι, κροκόδειλον ἔχοντα ἴβεως πτερὸν ἐπὶ τῆς κεφαλῆς ζωγραφοῦσι

φῦσι. τούτου γὰρ ἐὰν ἴβεως πτερῷ θίγῃς, ἀκίνητον [αὐτὸν] εὑρήσεις.

77. Quomodo rapacem & inertem.

Rapacem simul & pigrum inertemq. hominem significant, crocodilum pingentes qui ibis pennam in capite habeat. Hunc enim si Ibis pennas tangas, immotum deprehendes.



οή. Πῶς γυναῖκα γεννήσασαν ἅπαξ.

Γυναῖκα γεννήσασαν ἅπαξ βουλόμενοι

σημῆναι, λέαιναν ζωγραφοῦσιν. αὕτη γὰρ δὶς οὐ κυΐσκει.

78. Quomodo mulierem ſemel enixam.

Semel enixam mulierem ſignificant leænam pingentes. Hæc enim bis vterum non fert.



οθ'. Πῶς ἄνθρωπον γεννηθέντα κατὰ τὴν ἀρχὴν ἄμορφον.

Ἄνθρωπον ἄμορφον γεννηθέντα κατὰ τὴν

τὴν ἀρχὴν, ὕστερον δὲ μορφωθέντα βουλόμενοι σημῆναι, ἄρκτον ἐγκυμονοῦσαν ζωγραφοῦσιν. αὕτη γὰρ αἷμα συνεστραμμένον καὶ πεπηγὸς τίκτει. ὕστερον δὲ τοῦτο θαλπόμενον ἐν τοῖς ἰδίοις μηροῖς διατυποῦται, καὶ τῇ γλώττῃ λειχόμενον τελειοῦται.

79. Quomodo hominem primo rudem, informemq. editum.

Hominem qui initio quidem informis natus sit, sed postea formam acceperit, innuunt, depicta vrsa prægnante. Hæc nanque sanguinem primum condensatum & concretum parit: hunc postea proprijs fouens fœmoribus, efformat, linguaq. lambens perficit.



πʹ. Πῶς ἄνθρωπον ἰσχυρὸν, καὶ τῶν συμφερόντων ὀσφραντικόν.

Ἄνθρωπον ἰσχυρὸν, καὶ τῶν συμφερόντων ὀσφραντικὸν βουλόμενοι σημῆναι, ἐλέφαντα ζωγραφοῦσιν, ἔχοντα τὴν προβοσκίδα. ἐκεῖνος γὰρ ταύτῃ ὀσφραίνεται, καὶ κρατεῖ τῶν προσπιπτόντων.

80. Quomodo robuſtum hominem, quæq. e re ſua ſint ſubolfacientem.

Eum qui ſimul & viribus & in-

genio valeat ad ea dignoſcenda quæ vtilia ſint, volentes ſignificare, elephantum pingunt cum ſua proboſcide. Hac enim odoratur, & incidentia conſequitur.



πά. Πῶς ἄνθρωπον βασιλέα φεύγοντα μωρείαν ϗ ἀφροσύνην.

Ἄνθρωπον βασιλέα φεύγοντα μωρείαν ϗ ἀφροσύνην βουλόμενοι σημῆναι, ἐλέφαντα ϗ κριὸν ζωγραφοῦσιν. ἐκεῖνος γὰρ θεωρῶν τὸν κριὸν φεύγει.

81. Quomodo regem a ſtultitia, imprudentiaq. abhorrentem.

Regem qui omni ſtudio ſtultitiam fugiat atque imprudentiam, ſignificant, elephantum & arietem ſimul pingentes. Ille enim viſo ariete fugit.



πβ'. Πῶς βασιλέα φεύγοντα φλύαρον ἄνθρωπον.

Βασιλέα φεύγοντα φλύαρον ἄνθρωπον βουλόμενοι σημῆναι, ἐλέφαντα ζωγραφοῦσι μετὰ χοίρου. ἐκεῖνος γὰρ ἀκούων φωνῆς χοίρου, φεύγει.

82. Quomodo regem qui nugatorem auerſetur.

Regem qui nugacem vitet hominem, ſignificant, elephantem cum porco pingentes. Is enim voce porci audita, aufugit.



πγʹ. Πῶς ἄνθρωπον ὀξὺν μὲν κατὰ τὴν κίνησιν, ἀσκέπτως δὲ καὶ ἀνοήτως κινούμενον.

Ἄνθρωπον ὀξὺν μὲν κατὰ τὴν κίνησιν, ἀσκέπτως δὲ καὶ ἀνοήτως κινούμενον βουλόμενοι σημῆναι, ἔλαφον καὶ ἔχιδναν ζωγραφοῦσιν. ἐκείνη γὰρ ὁρῶσα τὴν ἔχιδναν φεύγει.

83. Quomodo hominem qui celeriter quidem, ſed inconſulto inconſiderateq. moueatur.

Eum ſignificantes qui agilis ſit & velox, abſque iudicio tamen ac ratione feratur, ceruum depingunt, & viperam. Hac ſiquidem conſpecta, temere in fugam vertitur ceruus.



πδ΄. Πῶς ἄνθρωπον φρονούμενον τῆς * ἰδίας ταφῆς.

Ἄνθρωπον φρονούμενον τῆς ἰδίας ταφῆς

ῆς βουλόμενοι σημῆναι, ἐλέφαντα ζωγραφοῦσι κατορύττοντα τοὺς ἰδίους ὀδόντας. τούτους γὰρ πεσόντας λαβὼν κατορύττει.

84. Quomodo hominem qui ſuæ proſpiciat ſepulturæ.

Vt denotent eum qui de ſua ſolicitus eſt ſepultura, elephantem pingunt proprios dentes defodientem. Hos enim vbi exciderint acceptos in terram condit.



πέ. Πῶς ἄνθρωπον ζήσαντα τέλειον βίον.

Ἄνθρωπον ζήσαντα τέλειον βίον θέλοντες

λοντες δηλῶσαι, κορώνην ἀποθανοῦσαν ζωγραφοῦσιν. αὕτη γὰρ ζῇ ἑκατὸν ἔτη κατ' Αἰγυπτίους. τὸ δὲ ἔτος κατ' Αἰγυπτίους τεττάρων ἐνιαυτῶν.

85. Quomodo hominem qui plenam iuſtamq. ætatem vixerit.

Eum qui iuſtam hominis ac legitimam vixerit ætatẽ, volentes monſtrare, cornicem mortuam pingunt. Hæc enim centum iuxta Aegyptiorum morem computatis annis viuit. Conſtat autem Aegyptiacus annus quatuor vſitatis & communibus annis.



πϛ΄. Πῶς ἄνθρωπον ἑαυτῷ κρύπτοντα κακίαν.

Ἄνθρωπον ἐμφωλεύοντα ἑαυτῷ κακίαν, καὶ ἀποκρύπτοντα ἑαυτὸν, ὥστε μὴ γνωσθῆναι τοῖς ἰδίοις, θέλοντες σημῆναι, πάρδαλιν ζωγραφοῦσιν. αὕτη γὰρ κρύφα τὰ ζῶα θηρεύει, μὴ συγχωροῦσα τὴν ἰδίαν*, ὀσμὴν ἀφιέναι καταδιωκτικὴν οὖσαν τῶν ἄλλων ζώων. Γρ. ὁρμὴν

86. Quomodo hominem qui suum scelus ac maleficium tegat.

Designantes hominem qui scelestum suum ac malignum occultet animum, ne a suis noscatur, pardum pingunt. Hic siquidem clanculum alia persequitur animantia, nec sinit* impetum ac pernicitatem innotescere, qua in illis persequendis vtitur.

* odoratum



πζ'. Πῶς ἄνθρωπον ἐξαπατώμενον διὰ κολακείας.

Ἄνθρωπον ἐξαπατώμενον διὰ κολακείας

κείας βουλόμενοι σημῆναι, ἔλαφον μετὰ αὐλητοῦ ἀνθρώπου ζωγραφοῦσιν. αὕτη γὰρ θηρεύεται ἀκούουσα ἡδέα συρίσματα ᾀδόντων, ὡς κατακηλεῖσθαι ὑπὸ τῆς ἡδονῆς.

87. Quomodo hominem adulatione deceptum.

Eum qui aſſentatione captetur, innuentes, ceruum cum tibicine pingunt. Is enim dum ſuauiſſimum audiens canentium modulatum, ingenti veluti demulcetur voluptate, facile in venatorum manus incidit.



πή. Πῶς πρόγνωσιν εὐκαρπίας οἴνου.

Πρόγνωσιν εὐκαρπίας οἴνου βουλόμενοι σημῆναι, ἔποπα ζωγραφοῦσιν. ἐκεῖνος γὰρ ἐὰν πρὸ τοῦ καιροῦ τῆς ἀμπέλου κράζῃ, εὐοινίαν σημαίνει.

88. Quomodo præſagium copioſæ vindemiæ.

Præſagium copiæ vini ſignificantes, vpupam pingunt: quæ ſi antevitium tempus cecinerit, inſignem vini bonitatem ſimul & copiam prænunciat.




πθʹ. Πῶς ἄνθρωπον, ὑπὸ σταφυλῆς βλαβέντα.

Ἄνθρωπον ὑπὸ σταφυλῆς βλαβέντα, καὶ ἑαυτὸν θεραπεύοντα βουλόμενοι σημῆναι, ἔποπα ζωγραφοῦσι, καὶ ἀδίαντον τὴν βοτάνην. οὗτος γὰρ βλαβεὶς ὑπὸ σταφυλῆς, ἀδίαντον ἐπιτιθέμενος εἰς τὸ ἑαυτοῦ στόμα θεραπεύεται

89. Quomodo hominem, cui vuæ esus nocuerit.

Vuæ esu laesum & sese curantem

notantes, vpupam pingunt, & adiantum herbam. Hæc enim si vua comesta læsa fuerit, adiantum ori inserens, certo decurso spatio, pristinam recipit valetudinem.



λ'. Πῶς ἄνθρωπον ἑαυτὸν φυλάττοντα ἀπὸ ἐπιβουλῆς ἐχθρῶν.

Ἄνθρωπον ἀπὸ ἐπιβουλῆς ἐχθρῶν ἑαυτὸν φυλάττοντα βουλόμενοι σημῆναι, γέρανον γρηγοροῦσαν ζωγραφοῦσιν. αὗται γὰρ ἑαυτὰς φυλάττουσι γρηγοροῦσαι κατ' ὄρδινον ἐν πάσῃ τῇ νυκτί.

90. Quomodo hominem ſibi ab hoſtium inimicorumve inſidijs cauentem.

Sibi ab aduerſariorum inſidijs cauentem quum volunt ſignificare; gruem vigilantem pingunt. Hæ enim hoc ſe ipſas præſidio cuſtodiunt, tota nocte per vices excubias agentes.



ϟα'. Πῶς γέροντα ὑπὸ λιμοῦ ἀποθανόντα.

Γέροντα ὑπὸ λιμοῦ ἀποθανόντα θέλοντες δηλῶσαι, ἀετὸν ἐπικεκαμμένον ἔχον-

ἔχοντα τὸ ῥάμφος ζωγραφοῦσιν. ἐκεῖνος γὰρ γηρά[σ]κων ἀποκάμπτεται τὸ ῥάμφος αὐτοῦ, καὶ λιμῷ ἀποθνήσκει.

91. Quomodo ſenem fame enectum.

Senem qui fame perierit, volentes monſtrare, aquilam pingunt adunco roſtro. Huic enim ſeneſcenti aduncum fit roſtrum, itaquè inedia perit.



ϟβʹ. Πῶς ἄνθρωπον ἐν κινήσει καὶ θυμῷ διάγοντα.

Ἄνθρωπον ἀεὶ ἐν κινήσει καὶ θυμῷ διά-

διάγοντα καὶ μήτε ἐν τῷ τρέφεσθαι ἡσυχάζοντα βουλόμενοι σημῆναι, κορώνης νεοσσοὺς ζωγραφοῦσιν. αὕτη γὰρ ἱπταμένη τρέφει τοὺς νεοσσούς.

92. Quomodo hominem in perpetuo motu atque animi agitatione degentem.

Eum qui in aſſiduo motu & animi contentione vſq; adeo verſetur, vt ne veſcens quidem quieſcat, ſignificantes, cornicis pullos pingunt. Hæc enim etiam volans pullos paſcit.



ϟγʹ. Πῶς ἄνθρωπον εἰδότα μετέωρα.

Ἄνθρωπον εἰδότα τὰ μετέωρα θέλοντες σημῆναι, γέρανον ζωγραφοῦσιν. ἐκεῖνος γὰρ ὑψηλῶς πάνυ ἵπταται, ἵνα θεάσηται τὰ νέφη, μὴ ἄρα χειμάζῃ, ἵνα ἐν ἡσυχίᾳ διαμένῃ.

93. Quomodo hominem ſublimium rerũ peritũ.

Eorũ quæ in ſublimi gignuntur gnarũ ſignificantes, gruem volantẽ pingunt.

gunt. Illa enim alte admodum volat, vt nubes e proximo conſpiciat, neque tempeſtate agitetur, atque ita altam agat quietem.




ζδ΄. Πῶς ἄνθρωπον ἀποταξάμενον τὰ ἴδια τέκνα δι' ἀπορίαν.

Ἄνθρωπον ἀποταξάμενον τὰ ἴδια τέκνα δι' ἀπορίαν βουλόμενοι σημῆναι, ἱέρακα ἐγκύμονα ζωγραφοῦσιν· ἐκεῖνος γὰρ τίκτων τρία ᾠά, τὸ ἓν μόνον ἐκλέγεται καὶ τρέφει, τὰ δὲ ἄλλα δύο κλᾷ· τοῦτο δὲ ποιεῖ, διὰ τὸ κατ' ἐκεῖνον τὸν χρόνον τοὺς ὄνυχας ἀπολύειν, καὶ ἐντεῦθεν μὴ δύνασθαι τὰ τρία βρέφη τρέφειν.

94. Quomodo hominem proprios a se dimittentem liberos ob paupertatem.

Hominem qui inopia pressus liberos valere iusserit, notantes, accipitrem prægnantem pingunt. Is enim cum tria oua pariat, vnum quod nutriat seligit, reliquis duobus fractis. Hoc autem facit, quod per id tẽpus vngues amittat, ideoq. tres pullos simul educare nõ possit.



ϟέ. Πῶς ἄνθρωπον ὀκνοῦντα τὴν διὰ τῶν ποδῶν κίνησιν ποιεῖσθαι.

Ἄνθρωπον ὀκνοῦντα τὴν διὰ τῶν ποδῶν

δῶν κίνησιν ποιεῖσθαι βουλόμενοι σημῆναι, κάμηλον γράφουσιν. ἐκείνη γὰρ μόνη τῶν ἄλλων ζώων τὸν μηρὸν κάμπτει, διὸ καὶ * κάμμηρος λέγεται. ἄλ. κάμμηρος.

95. Quomodo hominem mouendis pedibus cunctabundum ac lentum.

Hominem pedum motu tardum & segnem volentes monstrare, camelum pingunt. Hic enim solus ex omnibus animantibus femur inter eundum inflectit, quare etiam κάμμηρος Græce hoc est camerus a fæmoris inflexione dicitur.



ϙϛʹ. Πῶς ἄνθρωπον ἀναιδῆ καὶ κατὰ τὴν ὅρασιν ὀξύν.

Ἄνθρωπον ἀναιδῆ, καὶ κατὰ τὴν ὅρασιν ὀξὺν θέλοντες δηλῶσαι, βάβαχον γράφουσιν. οὗτος γὰρ αἷμα οὐκ ἔχει, εἰ μὴ ἐν μόνοις τοῖς ὀφθαλμοῖς. τοὺς δὲ ἐκεῖ αἷμα ἔχοντας, ἀναιδεῖς καλοῦσιν. διὸ καὶ ὁ ποιητής. οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο.

98. Quomodo impudentem hominem, acutiq. ac celeris visus.

Hominem inuerecundum & visu celerem designantes, ranam pingunt. Hæc enim non alibi sanguinem habet quam in oculis. Porro qui illos sanguine respersos habent, impudentes dicunt. Ergo & poeta: Ebrie, luminibus canis, effrons, pectore cerui.



λζ. Πῶς ἄνθρωπον μὴ δυνηθέντα κινεῖσθαι.

Ἄνθρωπον πολὺν χρόνον μὴ δυνηθέντα

θέντα κινεῖσθαι, ὕστερον καὶ κινηθέντα τοῖς ποσὶ βουλόμενοι σημῆναι, βάτραχον ἔχοντα τοὺς ὀπισθίους πόδας ζωγραφοῦσιν. ἐκεῖνος γὰρ γεννᾶται ἄπους, ὕστερον δὲ αὐξανόμενος, προσλαμβάνει τοὺς ὀπισθίους * πόδας.

προότερον.

97. Quomodo hominem qui ſeſe mouere nequiuerit.

Hominem qui cum diu ſeſe mouere non potuerit, poſtea tandem pedibus moueatur, demonſtrantes, ranam pingunt poſteriores pedes habentem. Hæc enim primo ſine pedibus naſcitur, ſed poſtea dum augetur, pedes* aſſumit poſterio-res.

prius.




ζή. Πῶς ἄνθρωπον πάντων ἐχθρόν.

Ἄνθρωπον πάντων ἐχθρὸν καὶ ἀπο-κοινισμένον θέλοντες δηλῶσαι, ἔγχελυν ζωγραφοῦσιν. αὕτη γὰρ οὐδενὶ τῶν ἰχθύων συνευρίσκεται.

98. Quomodo omnibus inimicum hominem.

Omnibus infeſtum, & qui cæterorum conſortium fugiat, oſtendere volentes, anguillam pingunt. Hæc enim cum nullo alio piſce cõmercium habere deprehenditur.

ξθ'.



ϟθʹ. Πῶς ἄνθρωπον σώζοντα πολλοὺς ἐν θαλάττῃ.

Ἄνθρωπον σώζοντα πολλοὺς ἐν θαλάττῃ θέλοντες σημῆναι, νάρκην τὸν ἰχθῦν ζωγραφοῦσιν. αὕτη γὰρ ὅταν ἴδῃ τοὺς πολλοὺς τῶν ἰχθύων μὴ δυναμένους κολυμβᾶν, συλλαμβάνει πρὸς ἑαυτὴν καὶ σώζει.

99. Quomodo hominem multos in mari ſeruantem.

Hominem multos in mari ſeruan tem

tem signare volentes, torpedinem piscem pingunt. Hæc enim vbi pisces multos viderit, qui natare non possint; ad se trahit, ac eos seruat.



ρ'. Πῶς ἄνθρωπον τὰ χρήσιμα καὶ τὰ ἄχρηστα κακῶς ἀνηλωκότα.

Ἄνθρωπον τὰ χρήσιμα καὶ τὰ ἄχρηστα κακῶς ἀνηλωκότα βουλόμενοι σημῆναι, πολύποδα ζωγραφοῦσιν. ἐκεῖνος γὰρ πολλὰ καὶ ἀσώτως ἐσθίων, ἀποτίθεται τὴν τροφὴν εἰς τὰς θαλάμας, καὶ ὅταν ἀναλώσῃ τὰ χρήσιμα, τότε καὶ ἄχρηστα ἐκβάλλει.

100 Quomodo hominem qui vtilia simul & inutilia male consumserit.

Hominem qui vtilia simel & inutilia male consumpserit, indicantes, polypum pingunt. Ille enim quum multa eaq. intemperanter voret, cibum in cauernas reponens congerit, & quum vtilia consumserit, tum & quæ supersunt inutilia abiicit.



ρά. Πῶς ἄνθρωπον τῶν ὁμοφίλων κρατήσαντα.

Ἄνθρωπον τῶν ὁμοφύλων κρατήσαντα

τα βουλόμενοι σημῆναι, κάραβον καὶ πολύποδα ζωγραφοῦσιν. οὗτος γὰρ τοὺς πολύποδας κρατεῖ, καὶ τὰ πρωτεῖα φέρει.

101. Quomodo eum qui suæ gentis hominibus imperitat.

Suæ nationis & generis hominibus imperantem quū denotare volunt; carabum & polypum pingunt. Ille enim polypis imperat, interq. eos primas tenet.



ρβ'. Πῶς ἄνθρωπον μὴ προνοούμενον ἑαυτοῦ.

Πατέρα, ἢ ἄνθρωπον μὴ προνοού-


μενον ἑαυτοῦ, ἀλλ᾽ ὑπὸ τῶν οἰκείων φροντιζόμενον θέλοντες σημῆναι, πίνναν καὶ καρκῖνον ζωγραφοῦσιν. οὗτος γὰρ ὁ καρκῖνος μένει κεκολλημένος τῇ σαρκὶ τῆς πίννης, καὶ καλεῖται πιννοφύλαξ ἀκολούθως τῷ ὀνόματι. ἡ οὖν πίννα δίχα κέχηνεν ἐν τῷ κόγχῳ μένουσα. ὅταν οὖν αὐτῆς κεχηνυίας παρεισέλθῃ ἰχθύδιόν τι, ὁ πιννοφύλαξ δάκνει τῇ χηλῇ τὴν πίνναν. ἡ δὲ αἰσθομένη καταμύει τὸν κόγχον, καὶ οὕτως κυνηγετεῖ τὸ ἰχθύδιον.

102. Quomodo hominem qui sui curam rationemq. non habeat.

Patrem, aut hominem qui se ipse non curet, sed a domesticis & propinquis curetur, volentes significare, ostreum & cancrum pingunt. Hic enim carni ostrei velut agglutinatus manet: vnde & ex consecutione nominis, πιννοφύλαξ, quasi ostrei custos vocatur. Ostreum igi-

tur

tur plane hiat in concha esuriens. Si itaque dum hiat, pisciculus aliquis irrepserit, mordet cancer vngula ostreum: quod sentiens concham claudit, atque ita pisciculum venatur.



ϛγʹ. Πῶς ἄνθρωπον * λάμιαν ἔχοντα.

Ἄνθρωπον * λάμιξαν ἔχοντα βουλόμενοι σημῆναι, σκάρον ζωγραφοῦσιν. οὗτος γὰρ μόνος τῶν ἰχθύων μαρυκᾶται, καὶ πάντα περιαπίπτοντα ἰχθύδια ἐσθίει.

* λάμιαν m. s.

103. Quomodo hominem ingluuie laborantem.

Hominem gulæ deditum designare volentes, scarum pingunt. Is enim vnus ex piscibus ruminat, & omnes occursantes pisciculos deuorat.



ρδ΄. Πῶς ἄνθρωπον τὴν ἑαυτοῦ τροφὴν ἐμοῦντα.

Ἄνθρωπον ἐμοῦντα τὴν ἰδίαν τροφὴν,

καὶ

καὶ πάλιν ἀπλήστως ἐσθίοντα βουλόμενοι σημῆναι, ἐνύδριον γαλεὸν ζωγραφοῦσιν. οὗτος γὰρ κύει μὲν διὰ τοῦ στόματος, νηχόμενος δὲ καταπίνει τὸν γόνον.

104. Quomodo hominem cibos vomentem.

Eum qui vbi ſumtos cibos euomuerit, auide rurſum cibos vorat, vt ſatiari non poſſit, ſignificantes, felem aquaticum pingunt. Is enim ore parit, & natans fœtũ abſorbet.



ρε΄. Πῶς ἄνθρωπον ἐπὶ φόνῳ κολασθέντα.

Ἄνθρωπον ἐπὶ φόνῳ κολασθέντα, καὶ

 μετα-

μεταμεληθέντα βουλόμενοι σημῆναι, τρυγόνα περιπεπλεγμένην ἀγκίστρῳ ζωγραφοῦσιν. αὕτη γὰρ καταχεθεῖσα ῥίπτει τὴν ἐν τῇ οὐρᾷ ἄκανθαν.

105. Quomodo hominem ob cædem factam supplicio affectum.

Hominem qui cædis admissæ pœnas dederit, quemq. pœnituerit, designare volentes, turturem laqueo implicatam pingunt. Hęc enim capta spinam, quam in cauda habet, abiicit.



ρς'. Πῶς ἄνθρωπον ἀφειδῶς κατεσθίοντα τὰ ἀλλότρια.

Ἄνθρωπον ἀφειδῶς κατεσθίοντα τὰ ἀλλότρια καὶ ὕστερον κατηναλωκότα τὰ ἴδια, βουλόμενοι σημῆναι, πολύποδα ζωγραφοῦσιν. ἐκεῖνος γὰρ ἐὰν ἀπορήσῃ βορᾶς τῆς ἀπὸ ἄλλων, τὰς ἰδίας πλεκτάνας ἐσθίει.

106. Quomodo eum qui profusius alienis vescatur.

Eum qui & aliena intemperanter

ter decoquat, & demum ſua conſumpſerit, deſignantes, polypũ pingunt. Is enim ſi victu aliunde quæſito indigerit, propria edit flagella.




ρζʹ. Πῶς ἄνθρωπον ἐπὶ κακῷ ὁρμήσαντα.

Ἄνθρωπον ἐπὶ κακῷ ὁρμήσαντα, καὶ αὐτὸ τοῦτο κακῷ περιπεσόντα βουλόμενοι σημῆναι, σηπίαν ζωγραφοῦσιν. αὕτη γὰρ ἐὰν ἴδῃ τινὰ βουλόμενον αὐτὴν ἀγρεύσαι, προΐεται εἰς τὸ ὕδωρ ἐκ τῆς κοιλίας τὸ μέλαν, ὥστε ἐκ τούτου μηκέτι αὐτὴν βλέπεσθαι, καὶ οὕτω φεύγει.

107. Quomodo eum qui rerum honeſtarum amore flagret.

Eum qui toto pectore in res pulcherrimas incumbit, ac tamen in calamitates incidat, volentes innuere, ſepiam pingunt. Hæc enim ſi viderit a quopiã ſibi inſidias ſtrui, in aquam ex aluo nigerrimum effundit ſanguinem. ex quo fit vt iam conſpicua non ſit, atque ita euadat.



ρή. Πῶς ἄνθρωπον συνοχέα καὶ ἐνωπικόν.


Ἄνθρωπον συνοχέα καὶ ἐνωπικὸν βουλόμενοι σημῆναι, λύραν ζωγραφοῦσιν.

αὕτη

αὕτη γὰρ συνέχειαν φυλάττει τῶν ἰδίων κρουσμάτων.

108. Quomodo hominem qui vim quandam habeat ſibi alios conciliandi ac deuinciendi.

Quum hominem ſignificant qui alios ſibi continenter deuineiat & demereatur, lyram pingunt. Hæc enim continenter ſuum retinet concentum.



ρθʹ. Πῶς ἄνθρωπον πάλαι μὲν ἀποστάντα τῶν ἰδίων νοημάτων, ὕστερον δὲ γεγονότα τῆς ἑαυτοῦ φρονήσεως.

Ἄνθρωπον πάλαι μὲν ἀποστάντα τῶν ἰδίων

ἰδίων νοημάτων, ὕστερον δὲ τῆς ἑαυτοῦ γε-
γονότα φρονήσεως, καὶ τάξιν ἐπαγαγόντα
τῇ ἑαυτοῦ ζωῇ βουλόμενοι σημῆναι, σύριγ-
γα γράφουσιν. αὕτη γὰρ ἐπιστρεπτική ἐστι
καὶ ἀναμνηστικὴ καταθυμίως πεπραγ-
μένων * αὐτῷ, καὶ μάλιστα τεταγμένον
ἐκτελοῦσα φθόγγον.

109. Quomodo eum qui anteà mente alienatus fuerit, ſed poſtea reſipuerit.

Eum volentes oſtendere, qui quũ quondam mente alienatus eſſet, ad ſe demum redierit, certumq. vitæ ſuæ ordinem ac rationem inſtituerit, fiſtulam pingunt. Hæc ſiquidem animum demulcet, & ea in memoriam reducit, quæ ex animi ſententia & cum voluptate quis geſſerit. Inſuper & maxime compoſitum edit ſonum.



* ἴσως ρι. Πῶς ἄνθρωπον * ἴσον πᾶσι τὸ δίκαιον ἀπονέμοντα.

Ald. ἴσον Ἄνθρωπον ἴσως πᾶσι τὸ δίκαιον ἀπονέμοντα βουλόμενοι σημῆναι, στρουθοκαμήλου πτερὸν γράφουσι. τοῦτο γὰρ τὸ ζῶον πανταχόθεν ἴσα ἔχει τὰ πτερυγώματα παρὰ τῶν ἄλλων.

110. Quomodo eum qui ius ex æquo omnibus tribuat.

Eum qui ius æque omnibus impertiatur significare volentes, stru-

ſtruthiocameli pennam pingunt. Hoc enim animal præter cætera pénas alarum vndequaque æquales habet.



ρια΄. Πῶς ἄνθρωπον φιλοκτίστην.

Ἄνθρωπον φιλοκτίστην βουλόμενοι σημῆναι, χεῖρα ἀνθρώπου γράφουσιν. αὕτη γὰρ ποιεῖ πάντα τὰ κτίσματα.

Ὥρου Ἀπόλλωνος νειλῴου ἱερογλυφικῶν
Τέλος.

111. Quomodo hominem ædificandi studiosum.

Aedificandi cupidum hominem volentes innuere, hominis manum pingunt. Hæc enim omnia efficit opera.


Hori Apollinis Niliaci sacrarum scripturarum Finis.

Errata ita corriges.

Pagina 17. linea vltima. [solus accip- pag. 37 lin. penult. εἱμαρμένην. 40. l. vlt. in marg. ἰχθυώμενος. 41. 15. natationem. 42. 15. in templis. 54. 10. τοῦ ζωδίου τούτου, τὸ 98. 8. παραγίνεται 99. vlt. δὲ οὕπερ 122. 9. κροκόδ- 145. 3. ζωγραφουμένη 147. 2. Ἀκοὴ 155. 2. χεῖραν 186. 6. rependens 203. 7. ῥάβδον. 204. 1. 70. 213. 9. penna 215. 14. primo cond- 237. 1. 96.

LECTORI.

Hieroglyphicis Ori Apollinis alia quædam ſubiecimus hinc inde excerpta: quæ quod eodem ſpectent, tibi non ingrata fore, beneuole lector, augurabamur.



112. Quomodo futuram vitam aut ſalutem.

Vitam aut ſalutem futuram indicantes, geminas lineas ducebant, quarum tranſuerſa altera alteri in perpendiculi modum ductæ ſuper-

ſterneretur. Atque eius rei nulla iiiis alia ſuppetebat ratio, niſi quod hæc diuini cuiuſdam myſterij ſignificatio eſſet.



113. Quomodo duas regis præcipuas virtutes.

Duas primarias regis virtutes depicto ſceptro & ſuperne oculo, ſignificabant: ſceptro quidem eximiã hominis poteſtatem, oculo prouidentiam innuentes, qua eum par eſt in populum intueri.

114.



114. Quo pacto mortem seu hominis exitum.

Hominis exitum innuentes, fusum pingebant, & fili extremum refectum, quasi a colo diuulsum. finguntur siquidem a poetis Parcæ hominis vitam nere: Clotho quidem colum gestans: Lachesis quæ Sors dicitur, nens: Atropos vero inconuertibilis seu inexorabilis Latine redditur, filum abrumpens.



115. Quomodo vitam.

Vitam innuentes ardentem lampada pingebant: quod tantiſper dum accenſa lampas eſt, luceat, extincta vero tenebras offundat. ita & anima corpore ſoluta, & aſpectu & luce caremus.

116.



116. Quomodo laborem.

Bouinum caput carne nudatum delineabant, vbi vellēt laborem occulte demonſtrare. bouinum quidem caput, quod aratio omnis boū miniſterio abſoluatur: carne vero nudatum, quod laborioſi homines plerumque macilenti ſunt.



117. Quomodo Deum.

Oculo picto Deum intelligebant, quod vt oculus quicquid sibi propositum est intuetur, sic omnia Deus cognoscit ac videt.



118. Quomodo Manes.

Manes, hoc eſt Infernos deos ſignificabant, depicta ſine oculis facie, ac ſuperne geminis oculis: oculis deos, vt iam dictum eſt, intelligentes: facie autem abſque oculis, eos, qui apud Inferos ſunt atque in tenebris.

F I N I S.

Ἐκ τῶν Σουΐδα.

Ὡραπόλλων, φαινεβύθεως κώμης τοῦ πανοπολίτου, γραμματικός, διδάξας ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν Αἰγύπτῳ, εἶτα ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου. ἔγραψε τεμενικά, ὑπόμνημα Σοφοκλέους, Ἀλκαίου, εἰς Ὅμηρον. λαμπρὸς μὲν ἐπὶ τῇ τέχνῃ ἄνθρωπος, καὶ τῶν πάλαι λογιμωτάτων γραμματικῶν οὐδὲν ἧττον κλέος ἀπενεγκάμενος.

E SVIDA.

Horapollo, ex Phaenebytide pago Panopolitanæ præfecturæ, grammaticus Alexandriae docuit, & in Aegypto, tandem Conſtantinopoli, ſub Theodoſio. Scripſit τεμενικά, id eſt, de lucis ac templis, & commentarios in Sophoclem, Alcaeum, Homerum; vir arte celebris, gloria nulli veterum doctiſſimorum Grammaticorum ſecundus.

INDEX COPIOSISSIMVS eorum quæ in Oro Apolline, & in additis Hieroglyphicis Latinis, aut aliarum rerum signa, aut signata reperiuntur.

Prior numerus librum, posteriores Hieroglyphicum indicant.

Cor-

Hie-

Imman-

Sol

FINIS.

ROMAE. M.D.XCIX.

Superiorum Permissu.